At Mr Ash his lodgings
at Dr Clarck's house
in nightrider street

John
Duperoïde

LVCIANI

SAMOSATENSIS

DIALOGORVM SELECTORVM

LIBER PRIMVS.

GRÆCOLATINVS.



LONDINI,

Apud THOMAM HARPERVM.

M.DC.XX[illegible]



TYPOGRAPHUS LECTORI S.

PRimum hunc Luciani Dialogorum selectorum librum eo consilio excudendum suscepimus, ut juventus Græcarum literarum studiosa sine morum, honestatisq; periculo illo autore posthac uteretur, cujus alioqui dictionem ad Græcum sermonem perdiscendum cum primis aptam doctissimus quisque judicaverit. Quantum enim detrimentum adolescentium animis afferant ii, qui vel hunc, vel alios id genus autores sine rerum delectu in lucem edunt, aut legendos proponunt, nostrorum temporum perquam corrupti mores, quorum incauta lectio parens est, satis declarant. Habenda igitur potior virtutis ratio, neque committendum unquam, ut illius jacturam, vel maximæ eruditionis prætextu, juventus faciat. Vale amice lector, & nostris conatibus fave.



ΛΟΥΚΙΑΝΟΥ ΣΑΜΟΣΑΤΕΩΣ ΔΙΑΛΟΓΩΝ Βίβλιον πρῶτον.

ΚΥΚΛΩΠΟΣ καὶ ΠΟΣΕΙΔΩΝΟΣ.

Ὦ Πάτερ οἷα πέπονθα ὑπὸ τοῦ καταράτου ξένου, ὃς μεθύσας ἐξετύφλωσέ με, κοιμωμένῳ ἐπιχειρήσας. Ποσ. τίς δὲ ὁ ταῦτα τολμήσας, ὦ Πολύφημε; Κυ. τὸ καὶ πρῶτον, Οὖτιν ἑαυτὸν ἀπεκάλει. ἐπεὶ δὲ διέφυγε, καὶ ἔξω ἦν βέλους, Ὀδυσσεὺς ὀνομάζεσθαι ἔφη. Ποσ. οἶδα ὃν λέγεις, τὸν Ἰθακήσιον, ἐξ Ἰλίου δ' ἀνέπλει. ἀλλὰ πῶς ταῦτ' ἔπραξεν, οὐδὲ πάνυ εὐθαρσὴς ὤν; Κυ. κατέλαβον ἐν τῷ ἄντρῳ ἀπὸ τῆς νομῆς ἀναστρέψας, πολλούς τινας ἐπιβουλεύοντας δηλονότι τοῖς ποιμνίοις. ἐπεὶ δὲ ἔθηκα τῇ θύρᾳ τὸ πῶμα, πέτρα δέ ἐστί μοι παμμεγέθης, καὶ τὸ πῦρ ἀνέκαυσα, ἐναυσάμενος ὃ ἔφερον δένδρον ἀπὸ τοῦ ὄρους, ἐφάνησαν ἀποκρύπτειν αὑτοὺς πειρώμενοι, ἐγὼ δὲ συλλαβὼν αὐτῶν τινας, ὥσπερ εἰκὸς ἦν, κατέφαγον λῃστὰς ὄντας, ἐνταῦθα ὁ πανουργότατος ἐκεῖνος,



LVCIANI SAMOSATENSIS DIALOGORVM LIB. I.

CYCLOPIS & NEPTVNI.

O Pater qualia passus sum ab execrabili isto hospite, qui me inebriatum excæcavit, somno gravatum aggressus. NEP. Quis verò est, qui istæc facere ausus fuit, Polypheme? CYC. Principio quidem seipsum Neminem vocabat, postquam autem effugit, atq; extra tela, ut dicitur, fuit. Vlyssem nominari se aiebat. NEP. Novi, quem dicis, Ithacensis est, ex Ilio autem navigabat. Sed quo pacto hæc peregit, cum alioqui non ita audax atque animosus sit? CYC. Deprehendi in antro, è pascuis demum reversus, multos quosdam, insidiantes videlicet gregibus. Posteaquam autem apposui foribus operculum, (saxum autem quoddam mihi est perquam magnum) atque ignem resuscitavi, accensa arbore, quam de monte mecum ferebam, visi sunt abscondere sese parare. Ego verò comprehensos ipsorum quosdam, ut par erat, devoravi, ut qui prædones es-

νος, εἴτε Οὖτις, εἴτε Ὀδυσσεύς, δίδωσί μοι πιεῖν φάρμακόν τι ἐγχέας, ἡδὺ μὲν καὶ εὔοσμον, ἐπιβουλότατον δὲ καὶ ταραχωδέστατον· ἅπαντα γὰρ εὐθὺς ἐδόκει μοι περιφέρεσθαι πιόντι, καὶ τὸ σπήλαιον αὐτὸ ἀνεστρέφετο καὶ οὐκ ἔτι ὅλως ἐν ἐμαυτοῦ ἤμην. τέλος δὲ ἐς ὕπνον κατεσπάσθην, ὁ δὲ ἀποξύσας τὸν μοχλὸν, καὶ πυρώσας γε, προσέτι ἐτύφλωσέ με καθεύδοντα. καὶ ἀπ' ἐκείνου τυφλός εἰμί σοι, ὦ Πόσειδον. Ποσ. ὡς βαθὺν ἐκοιμήθης ὦ τέκνον, ὃς οὐκ ἐξέθορες μεταξὺ τυφλούμενος. ὁ δ' οὖν Ὀδυσσεὺς πῶς διέφυγεν; οὐ γὰρ ἂν εὖ οἶδ' ὅτι ἐδυνήθη ἀποκινῆσαι τὴν πέτραν ἀπὸ τῆς θύρας. Κυκ. ἀλλ' ἐγὼ ἀφεῖλον, ὡς μᾶλλον, αὐτὸν λάβοιμι ἐξιόντα. καὶ καθίσας παρὰ τὴν θύραν, ἐθήρων τὰς χεῖρας ἐκπετάσας, μόνα παρεὶς τὰ πρόβατα ἐς τὴν νομὴν, ἐντειλάμενος τῷ κριῷ, ὁπόσα ἐχρῆν πράττειν αὐτὸν ὑπὲρ ἐμοῦ. Ποσ. μανθάνω, ὑπ' ἐκεῖνος ὅτι γε ἔλαθεν ὑπεξελθών σε, ἀλλὰ τοὺς ἄλλους γε Κύκλωπας ἔδει ἐπιβοήσασθαι ἐπ' αὐτόν. Κυκ. Συνεκάλεσα, ὦ πάτερ, καὶ ἧκον, ἐπεὶ δὲ εἴροντο τοῦ ἐπιβουλεύοντος τὸ ὄνομα κἀγὼ ἔφην, ὅτι Οὖτις ἐστὶ, μελαγχολᾶν οἰηθέντες με, ᾤχοντο ἀπιόντες. οὕτω κατεσοφίσατό με ὁ κατάρατος, τῷ ὀνόματι. καὶ ὃ μάλιστα ἠνίασέ με. ὅτι καὶ ὀνειδίζων ἐμοὶ τὴν

συμφορὰν

sent. Hic igitur versutissimus ille, sive Nemo, sive Vlysses fuit, dat mihi bibere, infuso quodam veneno, dulci illo quidem & fragranti, cæterum ad insidias struendas præsentissimo, & maxime turbulento. Nam statim omnia videbantur mihi, postea quam bibissem, circumagitari, & antrum ipsum invertebatur, & prorsum apud me amplius ipse non eram. Postremo autem somno correptus jacui. Ille vero exacuto vecte, eodemq; igne succenso, insuper etiam excæcavit me dormientem. Et ex eo jam tempore cæcus tibi sum Neptune. NEPT. *Ut altè nimis dormîsti ô fili, qui non interea exilueris, cum excæcaveris. Vlysses igitur ille quo pacto effugit? Non enim, sat scio, potuit dimovere saxum à foribus.* CYCLOP. *At ego amovi ipsum, quo facilius illum comprehenderem inter egrediendum. At collocato meipso ad fores, extensis manibus venebar, solis dimissis in pascua ovibus, & arieti negotio dato, quænam ipsum agere, pro me oporteret.* NEP. *Intelligo rem, sub illis latuit te, clam te subducens. At cæteros certe Cyclopas conveniebat te invocare contra ipsum.* CYCLOP. *Convocavi illos, pater, atque etiam venerunt. Sed postquam me interrogassent insidiatoris nomen, atque ego dicerem; neminem esse, insanire me arbitrati, relicto me iterum discesserunt. Ita imposuit mihi execrabilis, nomine. Et quod maxime mihi doluit, contumeliosè obie-*

συμφορὰν, οὐδ' ὁ πατὴρ φησὶν, ὁ Ποσειδῶν ἰάσεταί σε. Ποσ. θάῤῥει ὦ τέκνον· ἀμυνοῦμαι γὰρ αὐτὸν, ὡς μάθῃ, ὅτι εἰ καὶ πήρωσίν μοι ὀφθαλμῶν ἰᾶσθαι ἀδύνατον, τὰ γοῦν τῶν πλεόντων τὸ σώζειν αὐτοὺς καὶ ἀπολλύναι, ἐπ' ἐμοὶ περίεστι. πλεῖ δὲ ἔτι.

ΜΕΝΕΛΑΟΥ καὶ ΠΡΩΤΕΩΣ.

Ἀλλὰ ὕδωρ μὲν σε γίνεσθαι, ὦ Πρωτεῦ, οὐκ ἀπίθανον, ἐνάλιόν γε ὄντα, καὶ δένδρον ἔτι φορητὸν, καὶ ἐς λέοντα ὁπότε ἀλλαγείης, ὅμως οὐδὲ τοῦτο ἔξω πίστεως. εἰ δὲ καὶ πῦρ γίνεσθαι δυνατὸν ἐν τῇ θαλάττῃ οἰκοῦντα, τοῦτο πάνυ θαυμάζω, καὶ ἀπιστῶ. Πρω. μὴ θαυμάσῃς ὦ Μενέλαε, γίγνομαι γάρ. Μεν. εἶδον καὶ αὐτὸς, ἀλλά μοι δοκεῖς, εἰρήσεται γὰρ πρὸς σὲ, γοητείαν τινὰ προσάγειν τῷ πράγματι, καὶ τοὺς ὀφθαλμοὺς ἐξαπατᾶν τῶν ὁρώντων, αὐτὸς οὐδὲν τοιοῦτο γιγνόμενος. Πρω. καὶ τίς ἂν ἡ ἀπάτη ἐπὶ τῶν οὕτως ἐναργῶν γένοιτο; οὐκ ἀνεῳγμένοις τοῖς ὀφθαλμοῖς εἶδες, ἐς ὅσα μετεποίησα ἐμαυτόν; εἰ δὲ ἀπιστεῖς, καὶ τὸ πρᾶγμα ψευδὲς εἶναι δοκεῖ, φαντασία τις πρὸ τῶν ὀφθαλμῶν ἱσταμένη, ἐπειδὰν πῦρ γένωμαι, προσένεγκέ μοι ὦ γενναιότατε τὴν χεῖρα. εἴσῃ γὰρ, εἰ ὁρῶμαι μόνον, ἢ καὶ τὸ

καὶ

sta mihi clade hac ne pater quidem Neptunus, inquit, levabit te hoc malo. NEPTVN. Confide fili, ulciscar enim ipsum, ut sentiat, etiamsi cæcitatem oculorum mederi impossibile sit, navigantes certe tamen servare non perdere, penes me esse: navigat autem adhuc.

MENELAI & PROTEI.

AT in aquam converti te Proteu, incredibile adeò non est; marinus utique cum sis; etiam arborem fieri, tolerabile; præterea & in leonem aliquando muteris licet, tamen neque hoc supra fidem est. Quod si autem & ignem fieri te possibile est, cùm in mari habites, hoc omnino miror, neque adducor ut credam. PROTEVS. Ne mireris Menelae, fieri enim soleo. MENELAVS. Vidi & ipse, veruntamen videris mihi (dicetur enim hic apud te) præstigias quasdam adhibere rei, atque intuentium oculos decipere, cum interim ipse nihil tale facias. PROTEVS. Et quænam adeò deceptio in rebus sic manifestis fieri queat? An non apertis oculis vidisti, in quam multa ipse me transformaverim? Quid si vero non credis, & res hæc tibi falsa videtur, nempe apparentia quædam inanis ante oculos subversans, posteaquam ignis factus fuero, applica mihi, heus generose tu, manum. Nimirum senties,

καὶ εἶν τότε μοι προσέσειν. Μεν. οὐκ ἀσφαλὴς ἡ πεῖρα ὦ Πρωτεῦ. Πρω. σὺ δέ μοι Μενέλαε δοκεῖς οὐδὲ πολύπουν ἑωρακέναι πώποτε, οὐδὲ ὃ πάσχει ὁ ἰχθῦς οὗτος εἰδέναι. Μεν. ἀλλὰ τὸν μὲν πολύπουν εἶδον. ἃ πάσχει δὲ, ἡδέως ἂν μάθοιμι παρὰ σοῦ. Πρω. ὁποίᾳ ἂν πέτρᾳ προσελθὼν ἁρμόσῃ τὰς κοτύλας, καὶ προσφὺς ἔχηται κατὰ τὰς πλεκτάνας, ἐκείνῃ ὅμοιον ἀπεργάζεται ἑαυτὸν, καὶ μεταβάλλει τὴν χρόαν, μιμούμενος τὴν πέτραν, ὡς ἂν λάθῃ τοὺς ἁλιέας, μὴ διαλλάττων, μηδὲ φανερὸς ὢν διὰ τοῦτο, ἀλλ' ἐοικὼς τῷ λίθῳ. Μεν. φασὶ ταῦτα. τὸ δὲ σὸν πολλῷ παραδοξότερον, ὦ Πρωτεῦ. Πρω. οὐκ οἶδα, ὦ Μενέλαε. τίνι ἂν ἄλλῳ πιστεύσειας, τοῖς σεαυτοῦ ὀφθαλμοῖς ἀπιστῶν; Μεν. ἰδὼν εἶδον, ἀλλὰ τὸ πρᾶγμα τεράστιον, τὸν αὐτὸν πῦρ καὶ ὕδωρ γίγνεσθαι.

ΠΟΣΕΙΔΩΝΟΣ καὶ ΔΕΛΦΙΝΩΝ.

Εὖγε ὦ Δελφῖνες, ὅτι ἀεὶ φιλάνθρωποί ἐστε, καὶ πάλαι μὲν τὸ τῆς Ἰνοῦς παιδίον ἐπὶ τὸν ἰσθμὸν ἐκομίσατε ὑποδεξάμενοι ἀπὸ τῶν Σκιρωνίδων μετὰ τῆς μητρὸς ἐμπεσόν. καὶ νῦν σὺ τὸν κιθαρῳδὸν τοῦτον τὸν ἐκ Μηθύμνης ἀναλαβὼν, ἐξενήξω

videar ne tantum ignis, an & urendi vim habeam. MENEL. Periculosum est experimentum hoc Proteu. PROTE. At tu Menelae videris mihi neque Polypum vidisse unquam, neque etiam quid pisci huic accidere soleat, scire. MENEL. Verum Polypum ipsum quidem vidi: quæ vero accidant illi, libenter ex te cognoverim. PROTE. Cuicunque saxo accedens, acetabula sua applicuerit, atque affixus inhæserit cirramentis, illi seipsum similem efficit, mutaque colorem, imitando saxum, quo videlicet lateat piscatores, nihil ab illo varians, neque manifestus existens ab hoc, sed assimulatus lapidi. MENEL. Ferunt hæc. Sed tuum hoc multò magis omnem opinionem excedit Proteu. PROTE. Nescio, Menelae, cuinam alteri facile credas, qui tuis ipsius oculis non credas? MENEL. Videns equidem vidi, sed tamen res ipsa monstro similis est, eundem videlicet ignem atque aquam fieri.

NEPTVNI & DELPHINVM.

LAudo, recte facitis Delphines, quod semper amantes hominum estis. Nam & olim Jnonis filium in Isthmum portastis, exceptum à Scironiis scopulis, unde cum matre præcipitatus fuerat. Et nunc tu citharœdo isto Methymnensi, cum ipso ornatu & citbara

νήξω ἐς Ταίναρον αὐτῇ σκευῇ καὶ κιθάρᾳ. οὐδὲ περιεῖδες κακῶς ὑπὸ τῶν ναυτῶν ἀπολλύμενον. Δελ. μὴ θαυμάσῃς ὦ Πόσειδον, εἰ τοὺς ἀνθρώπους εὖ ποιοῦμεν, ἐξ ἀνθρώπων γε καὶ αὐτοὶ ἰχθύες γινόμενοι. Ποσ. καὶ μέμφομαί γε τῷ Διονύσῳ, ὅτι ὑμᾶς καταναυμαχήσας μετέβαλες, δέον χειρώσασθαι μόνον, ὥσπερ τοὺς ἄλλους ὑπηγάγετο. ὅπως γοῦν τὰ κατὰ τὸν Ἀρίονα τοῦτον ἐγένετο ὦ δελφίν; Δελ. ὁ Περίανδρος, οἶμαι, ἔχαιρεν αὐτῷ, καὶ πολλάκις μετεπέμπετο αὐτὸν ἐπὶ τῇ τέχνῃ. ὁ δὲ πλουτήσας παρὰ τοῦ τυράννου, ἐπεθύμησε πλεύσας οἴκαδε ἐς τὴν Μήθυμναν, ἐπιδείξασθαι τὸν πλοῦτον, καὶ ἐπιβὰς πορθμείου τινὸς κακούργων ἀνδρῶν, ὡς ἔδειξε πολὺν ἄγων χρυσὸν καὶ ἄργυρον, ἐπεὶ κατὰ μέσον τὸ Αἰγαῖον ἐγένοντο, ἐπιβουλεύουσιν αὐτῷ οἱ ναῦται, ὁ δὲ ἠκροώμην γὰρ ἅπαντα παρανέων τῷ σκάφει, ἐπεὶ ταῦτα ὑμῖν δέδοκται, ἔφη ἀλλὰ τὴν σκευὴν ἀναλαβόντα με, καὶ ᾄσαντα θρῆνόν τινα ἐπ' ἐμαυτῷ, ἑκόντα ἐάσατε ῥῖψαι ἐμαυτόν. ἐπέτρεψαν οἱ ναῦται, καὶ ἀνέλαβε τὴν σκευὴν, καὶ ᾖσε πάνυ λιγυρῶς, καὶ ἔπεσεν εἰς τὴν θάλατταν, ὡς αὐτίκα πάντως ἀποθανούμενος. ἐγὼ δὲ ὑπολαβὼν, καὶ ἀναθέμενος αὐτὸν, ἐξενηξάμην ἔχων εἰς Ταίναρον. Ποσ. ἐπαινῶ

τῆς

cithara recepto, in Tænarum enataſti, neque paſſus es indigne à nautis perdi illum. DELPH. *Ne mireris Neptune ſi hominibus benefacimus, nam & ipſi ex hominibus piſces facti ſumus.* NEPT. *Atque equidem ob id reprehendo Bacchum, quod vos navali prælio ſuperatos ita transformavit, cùm deberet captivos ſolùm in deditionem accipere, quemadmodum & cæteros in poteſtatem redegit. Sed quo pacto, cum Arione hoc, quod accidit, ſeſe habet?* DELPH. *Periander iſte, puto, delectabatur homine, ac ſæpe illum ad ſe accerſebat artis gratia, Ille autem dives jam factus à tyranno, concupivit navigando in patriam Methymnam videlicet, ſpectandus ibi divitias ſuas exhibere. Ac conſcenſa ad trajiciendum navi hominum quorundam ſceleratorum, poſteaquam cognitus eſt, multum auri ſecum ferre, ubi ad medium fermè Ægæum perventum fuit, inſidiari illi nautæ cœperunt. Ille verò (nam auſcultabam omnia juxta navigium natando) quoniam jam hoc vobis ita viſum eſt, inquit, at me ſaltem aſſumpto ornatu, & decanato prius mihi ipſi funebri aliquo carmine, volentem ſinite præcipitare meipſum. Conceſſerunt nautæ. Tum ille aſſumpſit ornatum, & cecinit omnino lene, & cecidit in mare, tanquam ſtatim omnino moriturus. Ego vero excepto atque impoſito illo, enatavi unà cum ipſo in Tænarum.* NEPTUN. *Laudo ſtudium ergà*

Muſicam

τῆς φιλομουσίας, ἄξιον γὰρ τὸν μισθὸν ἀποδέδωκας αὐτῷ τῆς ἀκροάσεως.

ΠΟΣΕΙΔΩΝΟΣ καὶ ΝΗΡΗΙΔΩΝ.

ΤΟ μὲν στενὸν τοῦτο, ἐς ὃ ἡ παῖς κατηνέχθη, Ἑλλήσποντος ἀπ' αὐτῆς καλείσθω. τὸ δὲ νεκρὸν, ὑμεῖς ὦ Νηρεΐδες παραλαβοῦσαι, τῇ Τρῳάδι προσενέγκατε, ὡς ταφείη ὑπὸ τῶν ἐπιχωρίων. Νηρ. Μηδαμῶς ὦ Πόσειδον, ἀλλ' ἐνταῦθα ἐν τῷ ἐπωνύμῳ πελάγει τεθάφθω. ἐλεοῦμεν γὰρ αὐτὴν, οἴκτιστα ὑπὸ τῆς μητρυιᾶς πεπονθυῖαν. Ποσ. τοῦτο μὲν, ὦ Ἀμφιτρίτη, οὐ θέμις. οὐδ' ἄλλως καλὸν ἐνταῦθά που κεῖσθαι ὑπὸ τῇ ψάμμῳ αὐτήν. ἀλλ' ὅπερ ἔφην, ἐν τῇ Τρῳάδι, ἐν τῇ Χερρονήσῳ τεθάψεται. ἐκεῖνο δὲ παραμύθιον ἔσται αὐτῇ ὅτι μετ' ὀλίγον τὰ αὐτὰ καὶ ἡ Ἰνὼ πείσεται, καὶ ἐμπεσεῖται ὑπὸ τοῦ Ἀθάμαντος διωκομένη εἰς τὸ πέλαγος, ἀπ' ἄκρου τοῦ Κιθαιρῶνος, καθόπερ καθήκει ἐς τὴν θάλασσαν, ἔχουσα καὶ τὸν υἱὸν ἐπὶ τῆς ἀγκάλης. Νηρ. ἀλλὰ κἀκείνην σῶσαι δεήσει, χαρισάμενον τῷ Διονύσῳ. τροφὸς γὰρ αὐτοῦ καὶ τίτθη ἡ Ἰνώ. Ποσ. οὐκ ἐχρῆν οὕτω πονηρὰν οὖσαν. ἀλλὰ τῷ Διονύσῳ ἀχαριστεῖν, ὦ Ἀμφιτρίτη, οὐκ ἄξιον. Νηρ. αὕτη δὲ ἄρα τί παθοῦσα κατέπεσεν ἀπὸ τοῦ κριοῦ; ὁ ἀδελφὸς δὲ ὁ Φρύξος ἀσφαλῶς ὀχεῖται;

Ποσ.

Musicam tuam, dignam enim mercedem retulisti ipsi pro eo quod auscultaras.

NEPTVNI & NEREIDVM.

F*Retum hoc quidem angustum, in quod puella delapsa, submersa est, Hellespontus ab ipsa vocetur. Cadaver autem ipsum, vos Nereides acceptum, in Troadem auferte, ut ibi ab incolis sepeliatur.* NEREID. *Nequaquam, Neptune, sed hic in cognomini pelago sepeliatur. Miseremur enim ipsius, ut quæ miserabilia maxime à noverca passa fuerit.* NEPTVN. *At hoc quidem, Amphitrite, fas non est, neque etiam alias honestum hic illam alicubi sub arena jacere: sed quod dixi, in Troade, in Chersoneso mox sepelietur. Illud autem pro solatio ei erit, quod paulo post eadem, ipsa quoque Ino patietur, & præcipitabitur, persequente illam Athamante, in pelagus ex summo Citharone, quà in mare porrigitur, una cum filio, quem in ulnis gestabit.* NEREID. *Sed & illam servare conveniet, gratiam hanc Baccho faciendo. Educavit enim illum Ino, eademque nutrix illius fuit.* NEPTVN. *Non decebat, adeo pravam. Sed tamen Baccho non gratificari Amphitrite, indignum foret.* NEREID. *Sed quid accidit huic, quod ex ariete decidit? frater autem ejus, Phryxus tuto vehitur?*

NEPTVN.

Ποσ. εἰκότως· νεανίας γάρ, ὃ δυνήσεται ἀντέχειν πρὸς τὴν φοράν, ἡ δὲ ὑπὸ ἀηθείας ἐπιβᾶσα ὀχήματος παραδόξου, καὶ ἀπιδοῦσα ἐς βάθος ἀχανές, ἐκπλαγεῖσα, καὶ τῷ θάμβει ἀμασχεθεῖσα, καὶ ἰλιγγιάσασα πρὸς τὸ σφοδρὸν τῆς πτήσεως, ἀκρατὴς ἐγένετο τῶν κεράτων τοῦ κριοῦ ὧν τέως ἀπείληπτο, καὶ κατέπεσεν ἐς τὸ πέλαγος. Νη. οὐκ οὖν ἐχρῆν τὴν μητέρα τὴν Νεφέλην βοηθεῖν πιπτούσῃ; Ποσ. ἐχρῆν, ἀλλὰ ἡ μοῖρα πολλῷ τῆς Νεφέλης δυνατωτέρα.

ΞΑΝΘΟΥ καὶ ΘΑΛΑΣΣΗΣ.

Δέξαι με ὦ θάλασσα, δεινὰ πεπονθότα, καὶ κατάσβεσόν μου τὰ τραύματα. Θαλ. τί τοῦτο ὦ Ξάνθε; τίς σε κατέκαυσεν; Ξαν. Ἥφαιστος, ἀλλ' ἀπηνθράκωμαι ὅλως ὁ κακοδαίμων, καὶ ζέω. Θάλ. διὰ τί δέ σοι ἐνέβαλε τὸ πῦρ; διὰ τὸν υἱὸν τῆς
Ξα. Θέτιδος, ἐπεὶ γὰρ φονεύοντα τοὺς φρύγας, ἱκέτευσα, ὃ δ' οὐκ ἐπαύσατο τῆς ὀργῆς, ἀλλ' ὑπὸ τῶν νεκρῶν ἀπέφραττέ μοι τὸν ῥοῦν, ἐλεήσας τοὺς ἀθλίους, ἐπῆλθον, ἐπικλύσαι θέλων, ὡς φοβηθεὶς ἀπόσχοιτο τῶν ἀνδρῶν. ἐνταῦθα ὁ Ἥφαιστος, ἔτυχε γὰρ πλησίον

NEPTVN. *Meritò, adolescens enim est, & contra impetum obsistere potest. Illa vero, eo quod insueta ejus rei erat conscensio videlicet vehiculo novo & inopinato, & despiciendo in profundum immensum, perculsa animo, & pavore pariter attonita, praeterea & vertigine correpta, prae vehementia & impetu volatus, retinere cornua arietis amplius non potuit, quibus se eo usque sustentaverat, atque ita in mare decidit.* NEREID. *An non igitur matrem ipsius Nephelen decebat opem ferre cadenti?* NEPTVN. *Decebat sanè, sed Parca quam Nephele multo potentior est.*

XANTHI & MARIS.

S*Uscipe me, ô Mare, gravia enim passus sum, extingue mihi vulnera* MAR. *Quid hoc rei est Xanthe? quis te deussit?* XAN. *Vulcanus, sed in carbones prorsus redactus sum miser, & efferuesco.* MAR. *Cur autem injecit tibi ignem?* XAN. *Propter filium Thetidis. Postquam enim occidentem illum Phrygas, supplex deprecatus sum, ille autem ab ira nihil remisit, sed occisorum corporibus etiam obstruxit mihi alveum, ego misertus miserorum, occurri, ut aquis inundarem atque involverem illum, quo eo periculo absterritus, ab occisione virorum cessaret. Ibi igitur Vulcanus, (aderat enim*

σιον πνέων, πᾶν ὅσον, οἶμαι, πῦρ εἶχε καὶ ὅσον ἐν τῇ Αἴτνῃ, καὶ εἴποθεν ἄλλοθι, φέρων, ἐπῆλθέ μοι καὶ ἔκαυσε μὲν τὰς πτελέας καὶ μυρίκας ὤπτησε δὲ καὶ τοὺς κακοδαίμονας ἰχθῦς, καὶ τὰς ἐγχέλυας, αὐτὸν δὲ ἐμὲ ὑπερκαχλάσαι ποιήσας, μικροῦ δεῖν ὅλον ξηρὸν εἴργασται, ὁρᾷς δ᾽ οὖν ὅπως διάκειμαι ὑπὸ τῶν ἐγκαυμάτων; Θαλ. θολερὸς ὦ Ξάνθε καὶ θερμὸς ὡς εἰκός. τὸ αἷμα μὲν, ἀπὸ τῶν νεκρῶν, ἡ θέρμη δὲ ὡς φὴς, ἀπὸ τοῦ πυρός. καὶ εἰκότως ὦ Ξάνθε, ὃς ἐπὶ τὸν ἐμὸν υἱὸν ὥρμησας οὐκ αἰδεσθεὶς ὅτι Νηρηΐδος υἱὸς ἦν. Ξαν. οὐκ ἔδει οὖν ἐλεῆσαι γείτονας ὄντας τοὺς Φρύγας; Θαλ. τὸν Ἥφαιστον δὲ οὐκ ἔδει ἐλεῆσαι, Θέτιδος υἱὸν ὄντα τὸν Ἀχιλλέα;

ΔΙΟΣ,
ΑΣΚΛΗΠΙΟΣ, καὶ
ΗΡΑΚΛΕΟΥΣ.

Παύσασθε ὦ Ἀσκληπιὲ καὶ Ἡράκλεις, ἐρίζοντες πρὸς ἀλλήλους ὥσπερ ἄνθρωποι. ἀπρεπῆ γὰρ ταῦτα, καὶ ἀλλότρια τοῦ συμποσίου τῶν θεῶν. Ηρακ. ἀλλὰ ἐθέλεις ὦ Ζεῦ τουτονὶ τὸν φαρμακέα προκατακλίνεσθαί μου. Ασκλη. νὴ Δία, καὶ ἀμείνων γάρ εἰμι. Ηρακ. κατὰ τί, ὦ ἐμβρόντητε; ἢ διότι σε ὁ Ζεὺς ἐκεραύνωσεν, ἃ μὴ θέμις ποιοῦντα,

enim prope forte existens) universo igne, quantum, opinor, usquam habebat, quantumque & in Ætna, & si quibus aliis locis illius est, allato, processit obviam, ac exussit equidem ulmos, & myricas, assavit autem & infœlices pisces & anguillas. Me vero cum effervescere fecisset, parum abfuit, quin totum aridum ac siccum reddiderit. Vides nimirum quò pacto exustionibus istis deformatus sim? MAR. *Turbidus es, ô Xanthe, & calidus, ut consentaneum est, cruore, à cadaveribus, calore autem, ut ais, ab igne veniente. Ac merito Xanthe, ut qui contra filium meum impetum feceris, non veritus, quod Nereidis filius ille esset.* XAN. *An non igitur decebat misereri me Phrygum, vicinorum adeo meorum?* MAR. *Vulcanum vero an non contra decebat misereri Achillis, Thetidis adeo filii?*

IOVIS, ÆSCVLAPII, & HERCVLIS.

D*Esinite, ô Æsculapi & tu Hercules, contendere inter vos jurgiis, perinde ut homines. Indecora enim hæc, & aliena à convivio Deorum.* HER. *Ac vis, ô Iupiter, medicamentarium istum priore loco accumbere, quam me?* ÆSCVL. *Quid ni? per Iovem, melior quoque enim sum.* HER. *In quo igitur, ô attonite, an quod te Jupiter fulmine aliquando percussit,*

νῦν δὲ καθ᾽ ἔλεον αὖθις ἀθανασίας μετείληφας; Ἀσκλη. ἐπιλέλησαι γὰρ καὶ σὺ ὦ Ἡράκλεες ἐν τῇ Οἴτῃ καταφλεγείς, ὅτι μοι ὀνειδίζεις τὸ πῦρ; Ἡρα. οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν, ὃς Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος, καὶ ἀνθρώποις ὑβριστὰς τιμωρούμενος, σὺ δὲ ῥιζοτόμος εἶ καὶ ἀγύρτης. νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος ἐπιθήσειν τῶν φαρμάκων, ἀνδρῶδες δὲ οὐδὲν ἐπιδεδειγμένος. Ἀσκλη. εὖ λέγεις ὅτι σου τὰ ἐγκαύματα ἰασάμην, ὅτε πρῴην ἀνῆλθες ἡμίφλεκτος, ὑπ᾽ ἀμφοῖν διεφθαρμένος τὸ σῶμα, τοῦ χιτῶνος, καὶ μετὰ τοῦτο τοῦ πυρός. ἐγὼ δὲ εἰ καὶ μηδὲν ἄλλο, οὔτε ἐδούλευσα ὥσπερ σύ, οὔτε ἔξαινον ἔρια ἐν Λυδίᾳ πορφυρίδα ἐνδεδυκώς, καὶ παιόμενος ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ. ἀλλ᾽ οὐδὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα, καὶ τὴν γυναῖκα. Ἡρακ. εἰ μὴ παύσῃ λοιδορούμενός μοι, αὐτίκα μάλα εἴσῃ, ὡς οὐ πολύ σε ὀνήσει ἡ ἀθανασία, ἐπεὶ ἀράμενός σε, ῥίψω ἐπὶ κεφαλὴν ἐκ τοῦ οὐρανοῦ ὥστε μηδὲ τὸν Παιῶνα ἰάσασθαί σε τὸ κρανίον συντριβέντα. Ζεὺς. παύσασθε, φημί, καὶ μὴ ἐπιταράττετε ἡμῖν τὴν ξυνουσίαν, ἢ ἀμφοτέρους ἀποπέμψομαι ὑμᾶς τοῦ συμποσίου.

καὶ

ercussit, eo quod quæ nefas erant, feceras, nunc autem ex misericordia iterum immortalitatis particeps factus es? ÆSCVL. Oblitus vero etiam tu es Hercules, quod in Oeta conflagrasti, quandoquidem mihi ignem objicis? HER. Nequaquam æqualia atque similia sunt quæ uterque in vita egimus, ut qui ipse quidem Jovis filius sim, tantos autem labores sustinuerim, expurgata vita, devectis bestiis & hominibus contumeliosis vindicta ac pœna affectis, Tu vero radicum incisor es, & circulator, ægrotantibus fortasse hominibus utilis medicamenta adhibendo, virile autem nihil quicquam opere præstitisti. ÆSC. Recte dicis, quoniam & adustiones tuas curavi, quando nuper ascendisti ad nos, semiustulatus corpore utrinque corrupto ac perdito, & à tunica, & post illam, etiam à flamma. Ego vero etiamsi nihil aliud, tamen neque servivi, quemadmodum tu, neque exercui lanificium in Lydia, purpuram indutus, & ab Omphale verberatus sandalo aureo, neque vero etiam insaniens, occidi liberos & uxorem. HERC. Nisi desinas conviciari, statim admodum senties, quod non multum tibi profutura sit immortalitas. Quoniam sublatum hinc, è cœlo præcipitem dabo te, ut ne ipse quidem Pæon curaverit te, diminuto atque effracto tibi cerebro. IVP. Desinite, inquam, & ne perturbate nobis conversationem hanc, aut ambos hinc ablegabo vos è convivio. Quanquam

καί τοι ἄγνωμον ὦ Ἡρακλες προκατακλίνεσθαί σε τὸν Ασκληπιὸν, ἅτε καὶ πρότερον ἀποθανόντα.

ΑΡΕΩΣ καὶ ΕΡΜΟΥ.

Ηκουσας ὦ Ερμῆ, οἷα ἠπείλησεν ἡμῖν ὁ Ζεὺς, ὡς ὑπερoπτικά. ἢν ἐθελήσω, φησὶν, ἐγὼ μὲν ἐκ τοῦ οὐρανοῦ σειρὰν καθήσω, ὑμεῖς δ' ἀποκρεμασθέντες κατασπᾷν βιάζεσθέ με, μάτην πονήσετε· οὐ γὰρ δὴ καθελκύσετε. εἰ δὲ ἐγὼ θελήσαιμι ἀνελκύσαι, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τὴν γῆν ἅμα καὶ τὴν θάλασσαν συναρτήσας μετεωριῶ, καὶ τἆλλα ὅσα καὶ σὺ ἀκήκοας. ἐγὼ δὲ ὅτι μὲν καθ' ἓν ἁπάντων ἀμείνων καὶ ἰσχυρότερός ἐστιν, οὐκ ἂν ἀρνηθείην. ὁμοῦ δὲ τῶν τοσούτων ὑπερφέρειν, ὡς μὴ καταβαρήσειν αὐτὸν, κἂν τὴν θάλασσαν προσλάβωμεν, οὐκ ἂν πεισθείην. Ερμ. εὐφήμει ὦ Αρες. οὐ γὰρ ἀσφαλὲς λέγειν τὰ τοιαῦτα, μὴ καί τι κακὸν ἀπολαύσωμεν τῆς φλυαρίας. Αρης. οἴει γάρ με πρὸς πάντας ἂν ταῦτα εἰπεῖν, οὐχὶ δὲ πρὸς μόνον σε, ὃν ἐχεμυθεῖν ἠπιστάμην, ὃ γοῦν μάλιστα γελοῖον ἔδοξέ μοι, ἀκούοντι μεταξὺ τῆς ἀπειλῆς, οὐκ

quam etiam æquum est ô Hercules, priore loco accumbere Æsculapium, quippe qui & prior mortuus est.

MARTIS & MERCVRII.

AVdistin' Mercuri, cujusmodi nobis minatus sit Iupiter, quam superba, quamque dictu absurda? Ego, inquit, si voluero cathenam ex æthere demittam, unde si vos suspensi me vi detrahere conemini, luseritis operam, nunquam enim me deorsum trahetis. Contra ego vos, si velim, in altum attrahere, non vos modo, verum etiam cum terram ipsam, tum mare pariter subjectum in sublime sustulero. Ad hæc alia permulta, quæ tu quoque audisti. At ego, siquidem cum viro quolibet singulatim conferatur, ita; præstantiorem eum esse viribusq; superiorem, haud quaquam negaverim: verum unum tam multis pariter in tantum antecellere, ut eum ne pondere quidem vincere queamus, etiamsi terram ac mare nobis adjunxerimus, id neutiquam crediderim. MER. *Bona verba Mars. Neque enim sat tutum est ista loqui, ne quid forte mali nobis conciliemus petulantia.* MAR. *Putas verò me apud quemlibet hæc dicturum? imo apud te solùm id audeo, quem linguæ continentis esse sciebam. Sed quod mihi maxime ridiculum videbatur, tum cum*

ἂν δυναίμην σιωπῆσαι πρὸς σε. μέμνημαι γὰρ οὐ πρὸ πολλοῦ, ὁπότε ὁ Ποσειδῶν, καὶ ἡ Ἥρα καὶ Ἀθηνᾶ ἐπαναστάντες, ὡς παντοῖος ἦν δεδιὼς, καὶ ταῦτα, τρεῖς ὄντας, καὶ εἰ μή γε ἡ Θέτις κατελεήσασα, ἐκάλεσεν αὐτῷ σύμμαχον Βριάρεων ἑκατόγχειρα ὄντα, κἂν ἐδέδετο αὐτῷ κεραυνῷ καὶ βροντῇ. ταῦτα λογιζομένῳ, ἐπήει μοι γελᾶν ἐπὶ τῇ καλλιρρημοσύνῃ αὐτοῦ. Ερμ. σιώπα εὐφήμει. οὐ γὰρ ἀσφαλὲς, οὔτε σοι λέγειν, οὔτε ἐμοὶ ἀκούειν τὰ τοιαῦτα.

ΔΙΟΓΕΝΟΥΣ καὶ ΠΟΛΥΔΕΥΚΟΥΣ.

Διογένης.

Ὦ Πολύδευκες, ἐντέλλομαί σοι, ἐπειδὰν τάχιστα ἀνέλθῃς, σὸν γάρ ἐστιν οἶμαι τὸ ἀναβιῶναι αὔριον, ἤν που ἴδῃς Μένιππον τὸν κύνα, εὕροις δ' ἂν αὐτὸν ἐν Κορίνθῳ κατὰ τὸ Κράνειον, ἢ ἐν Λυκείῳ τῶν ἐριζόντων πρὸς ἀλλήλους φιλοσόφων καταγελῶντα, εἰπεῖν πρὸς αὐτὸν ὅτι σοὶ ὦ Μένιππε κελεύει ὁ Διογένης, εἴ σοι ἱκανῶς τὰ ὑπὲρ γῆς καταγεγέλασται, ἥκειν ἐνθάδε πολλῷ πλείω ἐπιγελασόμενον. ἐκεῖ

cum hæc minitantem audirem, haud queam apud te reticere. Etenim memineram, cum non ita multo antè Neptunus, Juno ac Pallas mota adversus eum seditione, machinarentur comprehensum illum in vincula conjicere, quantopere formidare, utque in omnem speciem sese verterit, idque cum tres duntaxat essent Dii. Quod si Thetis misericordia commota, Briareum centimannum illi auxilio non accersivisset, ipso pariter cum fulmine ac tonitru vinctus esset. Hæc reputanti mihi videre libebat ejus magniloquentiam jactantiamque. MER. Tace, bona verba, neque enim tutum est ista vel tibi dicere, vel audire mihi.

DIOGENIS & POLLVCIS.

DIOGENES.

O Pollux commendo tibi postquam celerrimè ascenderis (tuum enim est, ni fallor, cras reviviscere) ut, sicubi videris Menippum, canem illum, invenies autem ipsum Corinthi, circa Craneum, aut in Lyceo deridentem contendentes istos inter se Philosophos, dicas illi, Menippe, inquiens, mandat tibi Diogenes, si satis ea, quæ super terram sunt, derisisti ut & huc ad inferos descendas, ubi multo plura, quæ rideas, habiturus es. Illic enim ambiguo tibi ad-

μὴ γὰρ ἐν ἀμφιβόλῳ σοι ἔτι ὁ γέλως ᾖ, καὶ πολὺ τὸ, τίς γὰρ ὅλως οἶδε τὰ μετὰ τὸν βίον; ἐνταῦθα δὲ, οὐ παύσῃ βεβαίως γελῶν, καθάπερ ἐγὼ νῦν. καὶ μάλιστα ἐπειδὰν ὁρᾷς τοὺς πλουσίους, καὶ σατράπας, καὶ τυράννους, οὕτω ταπεινοὺς καὶ ἀσήμους, ἐκ μόνης οἰμωγῆς διαγινωσκομένους καὶ ὅτι μαλθακοὶ καὶ ἀγεννεῖς εἰσι, μεμνημένοι τῶν ἄνω. ταῦτα λέγε αὐτῷ. καὶ προσέτι, ἐμπλησάμενον τὴν πήραν ἥκειν θέρμων τε πολλῶν, καὶ εἴπου εὕροι ἐν τῇ τριόδῳ Ἑκάτης δεῖπνον κείμενον, ἢ ᾠὸν ἐκ καθαρσίου, ἤ τι τοιοῦτο. Πολυ. ἀλλ' ἀπαγγελῶ ταῦτα, ὦ Διόγενες, ὅπως δὲ εἰδῶ μάλιστα, ὁποῖός τίς ἐστι τὴν ὄψιν; Διο. γέρων φαλακρὸς, τριβώνιον ἔχων πολύθυρον, ἅπαντι ἀνέμῳ ἀναπεπταμένον, καὶ ταῖς ἐπιπτυχαῖς τῶν ῥακίων ποικίλον. γελᾷ δ' ἀεὶ καὶ τὰ πολλὰ τοὺς ἀλαζόνας τούτους φιλοσόφους ἐπισκώπτει. Πολ. ῥᾴδιον εὑρεῖν ἀπό γε τούτων. Διο. βούλει καὶ πρὸς αὐτοὺς ἐκείνους ἐντείλομαί τι τοὺς φιλοσόφους; Πολυ. λέγε, οὐ βαρὺ γὰρ οὐδὲ τοῦτο. Διο. τὸ μὲν ὅλον, παύσασθαι αὐτοῖς παρεγγύα ληροῦσι, καὶ περὶ τῶν ὅλων ἐρίζουσι, καὶ κέρατα φύουσιν ἀλλήλοις, καὶ κροκοδείλους ποιοῦσι, καὶ τοιαῦτα ἄπορα ἐρωτᾷν διδάσκουσι τὸν νοῦν. Πολ. ἀλλ' ἐμὲ

huc risus fuit, & frequens illud abjici potuit. Quis enim omnino scit, quæ post vitam futura sint? Hic autem, non desines constanter atque perpetuo ridere, quemadmodum ego quoq; nunc facio. Et maxime postquam videris, divites istos ac satrapas & tyrannos ita humiles & obscuros esse, solóque ejulatu ab aliis dignosci. Tum quod & molles & ignavi sunt, reminiscentes eorum quæ in vita geruntur. Hæc illi queso ut dicas, & ut præterea etiam perâ veniat impletâ multo lupino, & sicubi in trivio positam inveniat Hecates cœnam, aut ovum ex lustratione, relictum, aut simile quippiam. POL. At renunciabo hæc, ô Diogenes. Sed quo melius illum agnoscere queam, cujusmodi facie est? DIOG. Senex est, calvaster, pallio indutus latero, & vento cuivis pervio, præterea & diversorum pannorum assumentis varietago. Ridet autem semper, ac plerumque arrogantes istos Philosophos acerbè perstringit. POL. Facile erit invenire illum, ex his utique signis. DIOGEN. Vis ne ut ad ipsos quoque philosophos illos aliquid tibi mandem? POL. Mandes licet, non enim grave hoc mihi fuerit. DIOGEN. In universum, adhortare illos, ut desistant à nugis suis, neque de toto contendunt, neque cornua sibi mutuo affigant, neque crocodilos faciant, neq; hujuscemodi sterilia atque jejuna interrogare, animum instituant. POL. At indoctum

ἀμαθῆ καὶ ἀπαίδευτον εἶναι φήσουσι, κατηγοροῦντα τῆς σοφίας αὐτῶν. Διο. σὺ δὲ οἰμώζειν αὐτοῖς παρ' ἐμοῦ λέγε. Πολυ. καὶ ταῦτα, ὦ Διόγενες, ἀπαγγελῶ. Διο. τοῖς πλουσίοις δὲ, ὦ φίλτατον Πολυδεύκιον, ἀπάγγελε ταῦτα παρ' ἡμῶν, τί ὦ μάταιοι τὸν χρυσὸν φυλάττετε; τί δὲ τιμωρεῖσθε ἑαυτοὺς λογιζόμενοι τοὺς τόκους, καὶ τάλαντα ἐπὶ ταλάντοις συντεθέντες, οὓς χρὴ ἕνα ὀβολὸν ἔχοντας, ἥκειν μετ' ὀλίγον; Πολυ. εἰρήσεται καὶ ταῦτα πρὸς ἐκείνους. Διο. ἀλλὰ καὶ τοῖς καλοῖς γε καὶ ἰσχυροῖς λέγε, Μεγίλλῳ τῷ κορινθίῳ, καὶ Δαμαξένῳ τῷ παλαιστῇ, ὅτι παρ' ἡμῖν οὔτε ἡ ξανθὴ κόμη, οὔτε τὰ χαροπὰ, ἢ μέλανα ὄμματα, ἢ ἐρύθημα ἐπὶ τοῦ προσώπου ἔτι ἐστὶν, ἢ νεῦρα εὔτονα, ἢ ὦμοι καρτεροὶ, ἀλλὰ πάντα μία ἡμῖν κόνις φασὶ, κρανία γυμνὰ τοῦ κάλλους. Πολυ. οὐ χαλεπὸν οὐδὲ ταῦτα εἰπεῖν πρὸς τοὺς καλοὺς καὶ ἰσχυρούς. Διο. καὶ τοῖς πένησιν ὦ Λάκων, πολλοὶ δ' εἰσὶ, καὶ ἀχθόμενοι τῷ πράγματι, καὶ οἰκτείροντες τὴν ἀπορίαν, λέγε μήτε δακρύειν, μήτ' οἰμώζειν, διηγησάμενος τὴν ἐνταῦθα ἰσοτιμίαν. καὶ ὅτι ὄψονται τοὺς ἐκεῖ πλουσίους οὐδὲν ἀμείνους αὐτῶν, καὶ Λακεδαιμονίοις δὲ τοῖς σοῖς, ταῦτα εἰ δοκεῖ, παρ' ἐμοῦ ἐπιτίμησον, λέγων ἐκλελύσθαι αὐτούς. Πολυ. μηδὲν ὦ Διόγενες περὶ Λακεδαιμονίων λέγε, οὐ γὰρ ἀνέξομαί γε. ἃ δὲ πρὸς τοὺς ἄλλους ἔφησθα,

me ineruditum esse dicent, qui doctrinam illorum reprehendam. DIOG. Tu vero plorare illos meo nomine jube. POL. Et hæc nunciabo illis. DIOG Divitibus autem, ô lepidissimum caput, hæc nostro nomine annuncies quæso. Quia, ô vani, aurum custoditis? Quid autem cruciatis vos ipsos, cogitantes usuras, & talentum aliud super aliud accumulantes, quos non plus quam unum obolum habentes, venire huc paulo post oportet? POL. Dicentur & hæc ad illos. DIOG. Sed & formosis istis & robustis dicas, Megillo puta Corinthio & Damoxeno palæstritæ, quod apud nos neque flava coma, nec carulei nigrive oculi, neque rubor faciei, amplius ullus est, neque præterea nervi intenti & robusti, neque humeri laborum tolerantes, sed omnia unus pulvis, ut aiunt, nobis calvaria forma nudata scilicet. POL. Non molestum erit, hæc ad formosos & robustos illos dicere. DIOG. Etiam pauperibus, ô Lacon, dicas licet, (multi autem sunt, quibus & ea res perquam molesta est, & inopiam lugent) ut neque lachrymentur, neque plorent, exposita illis æqualitate hac, quæ hic est, & quod videbunt, eos qui illic divites sunt nihilo meliores, quam sese hic esse. Lacedæmoniis autem tuis, hæc si videtur, nomine meo objicias, molles & enervatos ipsos esse dictitans. POL. Ne de Lacedæmoniis, Diogenes, quicquam dicas, non enim feram. Sed quæ ad cæteros mandasti, ea illis renunciabo.

δα, ἀπαγγελῶ. Διο. ἐάσομεν τούτους ἐπεί σοι δοκεῖ. σὺ δὲ οἷς παρεῖλον, ἀπένεγκε παρ' ἐμοῦ τοὺς λόγους.

ΠΛΟΥΤΩΝ, κατα ΜΕΝΙΠΠΟΥ.

Κρόισος.

Οὐ φέρομεν, ὦ Πλούτων, Μένιππον τουτονὶ τὸν κύνα παροικοῦντα. ὥστε ἢ ἐκεῖνόν ποι κατάστησον, ἢ ἡμεῖς μετοικήσομεν εἰς ἕτερον τόπον. Πλού. τί δ' ὑμᾶς δεινὸν ἐργάζεται, ὁμόνεκρος ὤν; Κροῖσος. ἐπειδὰν ἡμεῖς οἰμώζομεν καὶ στένομεν, ἐκείνων μεμνημένον τῶν ἄνω, Μίδας μὲν οὑτοσὶ τοῦ χρυσίου, Σαρδανάπαλος δὲ τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ τῶν θησαυρῶν, ἐπιγελᾷ, καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν. ἐνίοτε δὲ καὶ ᾄδων, ἐπιταράττει ἡμῶν τὰς οἰμωγὰς καὶ ὅλως, λυπηρός ἐστι. Πλού. τί ταῦτά φασιν, ὦ Μένιππε; Μέν. ἀληθῆ ὦ Πλούτων. μισῶ γὰρ αὐτοὺς ἀγεννεῖς, καὶ ὀλεθρίους ὄντας. οἷς οὐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἐπιμέμνηνται, καὶ περιέχονται τῶν ἄνω. χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς. Πλού. ἀλλ' οὐ χρή. λυποῦνται γὰρ οὐ μικρῶν στερούμενοι.

nunciabo. DIOG. *Missos igitur faciamus hos, quando tibi ita videtur. Tu vero ad illos quos antea dixi, sermones hos meos deferas.*

PLVTO, seu contra MENIPPVM.

CROESUS.

NON poterimus ferre Pluto, Menippum hunc canem, cohabitantem nobiscum. Quapropter aut illum hinc amotum alio loco colloca, aut nos hinc aliò commigrabimus. PLUT. Quid autem vobis mali adeo facit, quando eodem modo mortuus est ac vos? CROES. Postquam nos ploramus & ingemiscimus, illorum reminiscentes, quæ apud superos habuimus, utpote, Midas hic auri, Sardanapalus autem multæ voluptatis, ego vero thesaurorum, irridet, & cum conviciis vocitando. Interdum autem etiam cantando, conturbat ploratus nostros, & in summa, valde nobis molestus est. PLU. Quid hæc audio de te, Menippe? MEN. Vera Plut. Odi enim ipsos, ignavi ac perditi adeo cum sint: quibus non satis fuit vixisse male, sed etiam mortui, insuper cogitatione atque animo illis inhærent, quæ apud superos sunt. Delector itaque ægrè ipsis faciendo. PLU. Sed non decet

περιῃρημένοι. Μεν. καὶ σὺ μωραίνεις ὦ Πλούτων ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς; Πλου. οὐδαμῶς, ἀλλ' οὐκ ἂν ἐθελήσαιμι στασιάζειν ὑμᾶς. Μεν. καὶ μὴν ὦ κάκιστοι Λυδῶν, καὶ Φρυγῶν, καὶ Ἀσσυρίων, οὕτω γινώσκετε, ὡς οὐδὲ παυσομένου μου· ἔνθα γὰρ ἂν ἴτε, ἀκολουθήσω ἀνιῶν, καὶ κατᾴδων, καὶ καταγελῶν. Κροῖ. ταῦτα οὐχ ὕβρις; Μεν. οὐκ ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες, καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, καὶ τοῦ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες. τοιγαροῦν οἰμώζετε, πάντων ἐκείνων ἀφῃρημένοι. Κροῖ. πολλῶν γε, ὦ θεοὶ, καὶ μεγάλων κτημάτων. Μίδ. ὅσου μὲν ἐγὼ χρυσοῦ; Σαρ. ὅσης δ' ἐγὼ τρυφῆς; Μεν. εὖγε οὕτω ποιεῖτε, ὀδύρεσθε μὲν ὑμεῖς, ἐγὼ δὲ, τὸ γνῶθι σαυτὸν, πολλάκις συνείρων, ἐπᾴσομαι ὑμῖν. πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον.

ΜΕΝΙΠΠΟΥ, ΑΜΦΙΛΟΚΟΥ, καὶ ΤΡΟΦΩΝΙΟΥ.

Μένιππος.

Σφὼ μέντοι ὦ Τροφώνιε, καὶ Ἀμφίλοχε, νεκροὶ ὄντες οὐκ οἶδ' ὅπως

ναῶν

Dolent enim non exiguis rebus privati. MEN. *Etiam tu deliras Pluto, qui gemitus istorum tuo quoque calculo approbas?* PLU. *Haud quaquam, verùm nolim vos discordes ac seditiosos esse mutuo.* MEN. *At vero ó pessimi Lydorum, Phrygum, & Assyriorum, ita de me cognoscite, ut qui neque unquam desiturus sim. Nam quocunque abieritis hinc, eodem sequar ægrè faciendo, cantando atque irridendo vos.* CROES. *An non hæc contumelia est?* MEN. *Non, sed illa contumelia erant, quæ facere solebatis, quando & adorari vos volebatis, & hominibus liberis pro libidine abutebamini, neq; tum mortis quicquam memores eratis. Proinde perate nunc, omnibus illis despoliati.* CROES. *Multis certe, ó Dii, & magnis possessionibus.* MID. *Quanto equidem ipse auro?* SAR. *Quanta vero ego voluptate?* MEN. *Recte sane, ita facite, lugete vos quidem, ego vero tritum illud, Nosce teipsum, identidem connectendo, vobis occinam, decet enim hujusmodi ploratus, si crebro illud accinatur.*

MENIPPI, AMPHILOCHI, & TROPHONII.

MENIPPUS.

VOs nimirum Trophoni atque Amphiloche, cum sitis mortui, tamen haud scio quo

ναῶν κατηξιώθητε, καὶ μάντεις δοκεῖτε, καὶ οἱ μάταιοι τῶν ἀνθρώπων, θεοὺς ὑμᾶς ὑπειλήφασιν εἶναι. Τρο. τί οὖν ἡμεῖς αἴτιοι, εἰ ὑπ᾽ ἀνοίας, ἐκεῖνοι τοιαῦτα περὶ νεκρῶν δοξάζουσι; Μέν. ἀλλ᾽ οὐκ ἂν ἐδόξαζον, εἰ μὴ ζῶντες, καὶ ὑμεῖς τοιαῦτα ἐτερατεύεσθε, ὡς τὰ μέλλοντα προειδότες, καὶ προειπεῖν δυνάμενοι τοῖς ἐρομένοις. Τρο. ὦ Μένιππε, Ἀμφίλοχος μὲν σοὶ ἂν εἰδείη, ὅ τι αὐτῷ ἀποκριτέον ὑπὲρ αὑτοῦ. ἐγὼ δὲ, ἥρως εἰμὶ, καὶ μαντεύομαι, ἤν τις κατέλθοι παρ᾽ ἐμέ. σὺ δ᾽ ἔοικας οὐκ ἐπιδεδημηκέναι Λεβαδείᾳ τὸ παράπαν. οὐ γὰρ ἠπίστεις σὺ τούτοις. Μέν. τί φής; εἰ μὴ ἐς Λεβάδειαν γὰρ παρέλθω, καὶ ἐσταλμένος ταῖς ὀθόναις, γελοίως μᾶζαν ἐν τοῖν χεροῖν ἔχων, ἐσερπύσω διὰ τοῦ στομίου ταπεινοῦ ὄντος ἐς τὸ σπήλαιον, οὐκ ἂν ἐδυνάμην εἰδέναι ὅτι νεκρὸς εἶ, ὥσπερ ὑμεῖς, μόνῃ τῇ γοητείᾳ διαφέρων. ἀλλὰ πρὸς τῆς μαντικῆς, τί δὲ ὁ ἥρως ἐστίν; ἀγνοῶ γάρ. Τρο. ἐξ ἀνθρώπου τι καὶ θεοῦ σύνθετον. Μέν. ὃ μήτε ἄνθρωπός ἐστιν, ὡς φῄς, μήτε θεός, καὶ συναμφότερόν ἐστιν; νοῦν; ποῦ σου τὸ θεοῦ ἐκεῖνο ἡμίτομον ἀπελήλυθε; Τρο. χρᾷ, ὦ Μένιππε, ἐν Βοιωτίᾳ. Μέν. οὐκ οἶδα, ὦ Τροφώνιε, ὅ, τι καὶ λέγεις, ὅτι μέντοι ὅλος εἶ νεκρὸς, ἀκριβῶς ὁρῶ.

ΕΡΜΟΥ

nam modo, phanis estis donati, vatesque credimini, ac stulti mortales Deos esse vos arbitrantur. TROPH. *Quid? an nobis igitur imputandum, si per inscitiam illi de mortuis hujusmodi opinantur?* MEN. *Atqui non ista fuissent opinionati, ni vos, tum cum viveretis ejusmodi quædam portenta ostentassetis, tanquam futurorum fuissetis præscii, quasique prædicere potuissetis, si quæ percontarentur.* TROPHON. *Menippe, noverit Amphilochus hic, ipsi pro sese respondendum esse. Cæterum ego Heros sum, vaticinorque si quis ad me descenderit. At tu videre nunquam omnino Lebadiam adiisse, neque enim alioqui ista non crederes.* MEN. *Quid ais? equidem nisi Lebadiam fuissem profectus, ac linteis amictus, offam ridicule manu gestans, per angustum aditũ in specum irrepsissem, nequaquam fieri potuisset, ut te defunctum esse cognoscerem perinde atq; nos solaque præstigiatura reliquos antecellere. Sed age per ipsam divinandi artem, quid tandem est Heros? neque enim intelligo.* TROP. *Est quiddam partim ex homine, partim ex Deo compositum.* MEN. *Nempe quod neq; sit homo quemadmodum audio, neque Deus, verum pariter utrumque, Ergo dimidia illa tui, ac divina pars, quo nunc recessit?* TROPH. *Reddit oracula Menippe, in Bœotia.* MEN. *Haud intelligo quid dicas Trophoni, nisi quod illud plane video, te totum esse mortuum.*

MER-

ΕΡΜΟΥ καὶ ΧΑΡΩΝΟΣ.

Ερμης.

ΛΟγισώμεθα, ὦ πορθμεῦ, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐρίζωμέν τι περὶ αὐτῶν. Χαρ. λογισώμεθα, ὦ Ερμῆ, ἄμεινον γὰρ ὡρίσθαι περὶ αὐτῶν, καὶ ἀπραγμονέστερον. Ερμ. ἄγκυραν ἐντειλαμένῳ ἐκόμισα πέντε δραχμῶν. Χαρ. πολλοῦ λέγεις. Ερ. νὴ τὸν Αἰδωνέα τῶν πέντε ὠνησάμην, καὶ τροπωτῆρα δύο ὀβολῶν. Χ. τίθε πέντε δραχμὰς, καὶ ὀβολοὺς δύο. Ερμ. καὶ ἀκέστραν ὑπὲρ τοῦ ἱστίου πέντε ὀβολοὺς ἐγὼ κατέβαλον. Χαρ. καὶ τούτους προστίθει. Ερμ. καὶ κηρὸν, ὡς ἐπιπλάσαι τοῦ σκαφιδίου τὰ ἀνεῳγότα, καὶ ἥλους δὲ, καὶ καλῴδιον, ἀφ' οὗ τὴν ὑπέραν ἐποίησα, δύο δραχμῶν ἅπαντα. Χαρ εὖγε ἄξια ταῦτα ὠνήσω. Ερμ ταῦτά ἐστιν, εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν ἐν τῷ λογισμῷ. πότε δ' οὖν ταῦτ' ἀποδώσειν φῂς; Χαρ. νῦν μὲν ὦ Ερμῆ ἀδύνατον. ἢν δὲ λοιμός τις ἢ πόλεμος καταπέμψῃ ἀθρόους τινὰς, ἐνέσται τότε ἀποκερδᾶναι ἐν τῷ πλήθει παραλο-

γιζό-

MERCVRII, & CHARONTIS.

Mercurius.

Rationem supputemus, portitor, si videtur, quantum mihi debeas jam, ne denuò aliquando de eo inter nos contendamus. Char. Supputemus ô M. Satius enim est, maturè id agere, deinde & minoris negotii. Mer. Anchoram ut mandaras, comparavi tibi quinque drachmis. Char. Caro dicis. Mer. At per Plutonem, quinque emi illam, & præterea lorum, quo remum alligares, obolis duobus. Cha. Pone quinque drachmas, & obolos duos. Merc. Et pro acu ad resarciendum velum quinque obolos ego exolvi. Char. Etiam hos appone. Merc. Et ceram ad oblinendas navigii rimas tibi emi, & clavos præterea, & funiculum, unde Hyperam fecisti, omnia hæc duabus drachmis. Char. Recte, laudo, hæc vili emisti. Me. Hæc sunt, quæ tibi exposui, nisi quid reliquum sit quod me fugit inter computandum. Quando autem hæc redditurum te promittis? Char. Nunc quidem, Mercuri non possum. Si vero pestis aliqua, aut bellum, confertos & frequentes huc dimiserit aliquos, licebit mihi tum allucrari aliquid falsa supputatione in multitudine exigendo

γιζόμενον τὰ πορθμία. Ερμ. νῦν οὖν ἐγὼ καθεδοῦμαι, τὰ κάκιστα εὐχόμενος γενέσθαι, ὡς ἂν ἀπὸ τούτων ἀπολαύοιμι. Χάρ. οὐκ ἔστιν ἄλλως ὦ Ερμῆ. νῦν δ' ὀλίγοι ὡς ὁρᾷς ἀφικνοῦνται ἡμῖν. εἰρήνη γάρ. Ερμ. ἄμεινον οὕτως, εἰ καὶ ἡμῖν παρατείνοιτο ὑπό σου τὸ ὄφλημα. πλὴν ἀλλ' οἱ μὲν παλαιοί, ὦ Χάρων, οἶσθα οἷοι παρεγίνοντο, ἀνδρεῖοι ἅπαντες, αἵματος ἀνάπλεῳ, καὶ τραυματίαι οἱ πολλοί. νῦν δὲ ἢ φαρμάκῳ τις ὑπὸ τοῦ παιδὸς ἀποθανὼν, ἢ ὑπὸ τῆς γυναικὸς, ἢ ὑπὸ τρυφῆς ἐξῳδηκὼς τὴν γαστέρα, καὶ τὰ σκέλη. ὠχροὶ γὰρ ἅπαντες, καὶ ἀγεννεῖς, οὐ δὲ ὅμοιοι ἐκείνοις, οἱ δὲ πλεῖστοι αὐτῶν διὰ χρήματα ἥκουσιν, ἐπιβουλεύοντες ἀλλήλοις, ὡς ἐοίκασι. Χάρ. πάνυ γὰρ περιπόθητά ἐστι ταῦτα. Ερμ. οὐκοῦν οὐδ' ἐγὼ δόξαιμι ἂν ἁμαρτάνειν, πικρῶς ἀπαιτῶν τὰ ὀφειλόμενα παρὰ σοῦ.

ΠΛΟΥΤΩΝΟΣ καὶ ΕΡΜΟΥ.

Τὸν γέροντα οἶσθα, τὸν πάνυ γεγηρακότα λέγω, τὸν πλούσιον Εὐκράτην, ᾧ παῖδες μὲν οὐκ εἰσιν, οἱ τὸν κλῆρον δὲ θηρῶντες πεντακισμύριοι; Ερμ. ναὶ, τὸν σικυώνιον φής. τί οὖν; Πλού. ἐκεῖνον μὲν ὦ Ερμῆ ζῆν

* hope for the worst — best

ἔασον

gendo portoria. MER. Proinde ego nunc sedebo, pessima queq; ut eveniant precando, ut inde fructum aliquem capiam. CHAR. Fieri aliter non potest, Mercuri. Nam pauci nunc, vides, ad nos descendunt. Pax enim est. MER. Satius est ita esse, etiam ob hoc abs te prorogatur nobis debiti istius solutio. Verum enimvero prisci illi, Charon, nosti quales advenire solebant, quam fortes atque animosi omnes, cruore madidi, & vulneribus pleni plerique. Nunc autem, aut veneno aliquis à filio interfectus, aut ab uxore, aut præ nimia voluptate, tumefacto ventre & cruribus adveniunt. Pallidi enim omnes, & ignavi, neque similes prioribus illis. Plurimi autem ipsorum etiam pecuniarum causa veniunt, factis, ut videtur, mutuo sibi insidiis. CHAR. Omnino enim expetibiles illæ sunt. MER. Proinde neq; ego videar peccare gravius aliquid, si vel acerbius abs te exigam, ea quæ mihi debes.

PLVTONIS & MERCVRII.

SEnem me nosti, istum ætate omnino confectum dico, Eucratem divitem, cui liberi quidem nulli sunt, hæreditatis autem captatores plus quam quinquaginta millia? M. Novi, Sicyonium illum dicis. Sed quid postea? PLUT. Vivere illum quidem, Mercuri sine, ultra eos

nagin-

ἔασον, ἐπὶ τοῖς ἐνενήκοντα ἔτεσιν, ἃ βεβίωκεν. ἐπιμηκύνας ἄλλα τὸ σαῦτα, εἴγε οἷόν τε ἦν, καὶ ἔτι πλείω. τοὺς δέ γε κόλακας αὐτοῦ. Χαρῖνον τὸν νέον, καὶ Δάμωνα, καὶ τοὺς ἄλλους κατάσπασον ἐφεξῆς ἅπαντας. Ερμ. ἄτοπον ἂν δόξειε τὸ τοιοῦτον. Πλού. οὐ μὲν οὖν, ἀλλὰ δικαιότατον· τί γὰρ ἐκεῖνοι παθόντες, εὔχονται ἀποθανεῖν ἐκεῖνον, ἢ τῶν χρημάτων ἀντιποιοῦνται, οὐδὲν προσήκοντες ὃ δὲ πάντων ἐστὶ μιαρώτατον, ὅτι καὶ τοιαῦτα εὐχόμενοι, ὅμως θεραπεύουσιν ἔν γε τῷ φανερῷ. καὶ νοσοῦντος, ἃ μὲν βουλεύονται, πᾶσι πρόδηλα· θύσειν δὲ ὅμως ὑπισχνοῦνται, ἢν ῥαΐσῃ καὶ ὅλως, ποικίλη τις ἡ κολακεία τῶν ἀνδρῶν. διὰ ταῦτα ὁ μὲν ἔστω ἀθάνατος, οἱ δὲ, προαπίτωσαν αὐτοῦ μάτην ἐπιχανόντες. Ερμ. γελοῖα πείσονται, πανοῦργοι ὄντες. πολλὰ κἀκεῖνος εὖ μάλα διαβουκολεῖ αὐτοὺς, καὶ ἐπελπίζει, καὶ ὅλως, ἀεὶ θανόντι ἐοικὼς, ἔρρωται πολὺ μᾶλλον τῶν νέων. οἱ δὲ, ἤδη τὸν κλῆρον ἐν σφίσι διῃρημένοι, βόσκονται, ζωὴν μακαρίαν πρὸς ἑαυτοὺς τιθέντες. Πλού. οὐκοῦν ὁ μὲν ἀποδυσάμενος τὸ γῆρας ὥσπερ Ἰόλεως ἀνηβησάτω, οἱ δ᾽ ἀπὸ μέσων τῶν ἐλπίδων τὸν ὀνειροπολη-θέντα πλοῦτον ἀπολιπόντες, ἡκέτωσαν ἤδη κακοὶ κακῶς ἀποθανόντες. Ερμ. ἀμέλησον ὦ Πλούτων. μετελεύσομαι γάρ σοι ἤδη αὐτοὺς καθ᾽ ἕνα

ἑξῆς.

nonaginta annos quos ætate peregit, alteris totidem accumulari, si modo possibile sit, atque etiam pluribus. Adulatores autem ipsius Charinum adolescentem, & Damonem, & cæteros abripe huc ordine omnes. MER. *Atqui absurdum hoc videri queat.* PLUT. *Haudquaquam, imo justissimum. Quam enim ob causam illi adeo optant illum mori, nisi quia pecuniam illius ambiunt, nulla propinquitate juncti? Quod autem omnium sceleratissimum est, interea cum talia precantur, tamen observant & colunt manifeste utique illum. Ac quæ ægrotante illo, apud se consulebant, nemo ignorat: attamen sacrificaturos sese promittunt, si convalescat denuò: & in summa varia quædam adulandi ratio illorum hominum est. Quamobrem ipse quidem immortalis sit, illi autem præ ipso abeant, frustra hiantes.* MER. *Ridicula patientur, scelerati cum sint. Sed tamen & ille admodum scitè lactat illos, & spe pascit inani, & in summa semper morituro similis, multo validior est, quam quisquam juvenis. Illi autem hæreditate inter se divisa, pascuntur vitam quandam beatam secum ipsi animo præcipitantes* PLUT. *Proinde ipse exuta senectute, quemadmodum Iolaus ille, in juvenem redeat. Illi autem in ipsa media spe, divitiis illis, quasi per somnum spectatis, destituti abeant jam huc, mali malè mortui* M. *Alias res cura, Pluto, jam enim accersam tibi illos, alium super*

per

ἑξῆς. ἔπειτα δὲ οἶμαί εἰσι. Πλού. κατάσπα. ὁ δὲ παραπέμψει ἕκαστον, αὐτὶ γέροντος αὖθις προθήβης γινόμενος.

ΤΕΡΨΙΩΝΟΣ καὶ ΠΛΟΥΤΩΝΟΣ.

Τοῦτο, ὦ Πλούτων, δίκαιον, ἐμὲ μὲν τεθνάναι τριάκοντα ἔτη γεγονότα, τὸν δὲ ὑπὲρ τὰ ἐνενήκοντα γέροντα Θούκριτον ζῆν ἔτι; Πλού. δικαιότατον μὲν οὖν ὦ Τερψίων, εἴ γε ὁ μὲν ζῇ, μηδένα εὐχόμενος ἀποθανεῖν τῶν φίλων. σὺ δὲ, παρὰ πάντα τὸν χρόνον ἐπεβούλευες αὐτῷ, περιμένων τὸν κλῆρον. Τερ. οὐ γὰρ ἐχρῆν γέροντα ὄντα, καὶ μηκέτι χρῆσθαι τῷ πλούτῳ αὐτὸν δυνάμενον, ἀπελθεῖν τοῦ βίου, παραχωρήσαντα τοῖς νέοις; Πλού. καινὰ ὦ Τερψίων νομοθετεῖς, τὸν μηκέτι τῷ πλούτῳ χρῆσθαι δυνάμενον πρὸς ἡδονὴν, ἀποθνήσκειν. τὸ δὲ, ἄλλως ἡ μοῖρα καὶ ἡ φύσις διέταξεν. Τερ. οὐκοῦν ταύτην αἰτιῶμαι τῆς διατάξεως. ἐχρῆν γὰρ τὸ πρᾶγμα ἑξῆς πως γίνεσθαι, τὸν πρεσβύτερον, πρότερον, καὶ μετὰ τοῦτον, ὅστις καὶ τῇ ἡλικίᾳ μετ' αὐτόν· ἀναστρέφεσθαι δὲ μηδαμῶς, μηδὲ ζῆν μὲν τὸν ὑπέργηρων, ὀδόντας τρεῖς ἔτι λοιποὺς ἔχοντα, μόγις ὁρῶντα, οἰκέταις τέτρασιν ἐπικεκυφότα, κορύζης μὲν τὴν ῥῖνα, λή-

per alium ordine, septem autem, opinor, sunt. Plu. Deducas licet. Ille autem [illegible] singulos præ se, ex sene iterum in adolescentem conversus.

TERPSIONIS & PLVTONIS.

IVstum ne hoc est, ô Pluto, me quidem è vita abiisse, triginta cum sim annorum, Thucritum vero senem nonagenarium, & ultra, adhuc vivere? Plut. Iustissimum quidem ô Terpsion. Nam & si ipse vivit, certe ad nullius tamen mortem affectus est: tu verò omni tempore illius hæreditatem expectans, eum mori avidissimè cupiebas. Terp. Nonne opus fuerat, cum senex sit, nequedéque de cætero suis uti divitiis, locum dare juvenibus. Plut. Novas, ô Terpsio, statuis leges, cum ad voluptatem divitiis uti nequeat, ipsum è vita decedere. Aliter autem & Parca & natura statuisse videtur. Terp. Proinde hanc ob hujuscemodi accuso ordinem, decebat enim has res successione gradúque fieri, senem primò, deinde qui in ea ætate sequeretur, mori: haudquaquam autem ordinem inverti, aut vivere senectute decrepitum, qui tres duntaxat dentes habet, cui vix deserviunt oculi, qui curvatus à quatuor famulis deducitur, deguttantes nares, lipposque oculos habens, nihil denique voluptatis degustans

μης δὲ τοὺς ὀφθαλμοὺς μεστὸν ὄντα, οὐδὲν ἔτι ἡδὺ εἰδότα, ἔμψυχόν τινα τάφον ὑπὸ τῶν νέων καταγελώμενον, ἀποθνήσκειν δὲ καλλίστους, καὶ ἐρρωμένε στάτους νεανίσκους. ἄνω γὰρ ποταμῶν τοῦτό γε, ἢ τὸ τελευταῖον εἰδέναι ἐχρῆν, πότε καὶ τεθνήξεται τῶν γερόντων ἕκαστος, ἵνα μὴ μάτην ἂν ἐνίους ἐθεράπευον. νῦν δὲ τὸ τῆς παροιμίας, Ἡ ἅμαξα τὸν βοῦν πολλάκις ἐκφέρει. ΠΛΟΥΤ. ταῦτα μὲν, ὦ Τερψίων, πολὺ συνετώτερα γίνεται, ἤπερ σοι δοκεῖ. καὶ ὑμεῖς δὲ τί παθόντες, ἀλλοτρίοις ἐπιχαίρετε, καὶ τοῖς ἀτέκνοις τῶν γερόντων εἰσποιεῖτε φέροντες αὐτούς; τοιγαροῦν γέλωτα ὀφλισκάνετε, πρὸ ἐκείνων κατορυττόμενοι. τὸ καὶ πρᾶγμα τοῖς πολλοῖς ἥδιστον γίνεται· ὅσῳ γὰρ ὑμεῖς ἀποθανεῖν εὔχεσθε, τοσούτῳ ἅπασιν ἡδὺ προαποθανεῖν ὑμᾶς αὐτῶν, καινὴν γάρ τινα ταύτην τέχνην ἐπινενοήκατε γερόντων ἐρῶντες, καὶ μάλιστα, εἰ ἄτεκνοι, εἶεν. οἱ δὲ ἔντεκνοι, ὑμῖν ἀνέραστοι καί τοι. πολλοὶ ἤδη τῶν ἐρωμένων συνέντες ὑμῶν τὴν πανουργίαν τοῦ ἔρωτος, ἢν καὶ τύχωσι παῖδας ἔχοντες, μισεῖν αὐτοὺς πλάττονται, ὡς καὶ αὐτοὶ ἐραστὰς ἔχωσιν. εἶτα ἐν ταῖς διαθήκαις, ἀπεκλείσθησαν μὲν οἱ πάλαι δορυφορήσαντες, ὁ δὲ παῖς, καὶ ἡ φύσις, ὥσπερ ἐστὶ δίκαιον, κρατοῦσι πάντων οἱ δὲ, ὑποπρίουσι τοὺς ὀδόντας, ἀποσμυγέντες. ΤΕΡΨ. ἀλη-

degustans, haud aliter existens, quam animatum quoddam sepulcbrum, ab ipsa juventute derisum: & contra mori optimos atque robustissimos adolescentes. Nam hoc perinde esse videtur, ac si flumina sursum deferantur. Aut saltem scire necesse foret, quando & senum quilibet obiturus esset, ne frustra quosdam colerent. Nunc vero illud accidit, quod proverbio dici solet, Quadriga bovem sæpissimè ducit. PLUT. Hæc quidem ô Terpsio, prudentius fiunt, quam tibi profecto videntur. Verum & vos quid passi estis, quod rebus alienis gaudetis, & senibus filiis orbatis, vosmet tantopere in adoptionem traditis? quamobrem in derisum adducti, ab illis sepelimini, quod quidem plurimis fit perjucundum. Nam quanto vos magis mori illos peroptatis, tanto plus omnibus quam gratissimum est, si ante eos vos mori contingat. Et enim novam quandam artem cogitatis, decrepitos cum amatis, presertim si liberis sint orbati qui vero liberos habent, illorum vobis non est cura. Atqui ex iis qui amantur plurimi, minime vestri ignari æstus, etiamsi ipsis liberos habere contingat, illos tamen odisse simulant, ut & ipsi habeant amatores. Inde iis in testamento exclusis, qui olim affectati sunt illos, liberi, sicuti profecto dignum est, omnem eorum substantiam consequuntur: at illi confecti dolore dentibus strident. TERP. Vera sunt hæc quæ dicis. Quantum enim meorum

διὰ ταῦτα φής. ἐμοῦ γοῦν Θούκριτος πόσα κατέφαγεν, ἀεὶ τεθνήξεσθαι δοκῶν; καὶ ὁπότε εἰσίοιμι, ὑποστένων, καὶ μύχιόν τι καθάπερ ἐξ ᾠοῦ νεοττὸς ἀτελὴς ὑποκρώζων, ὥστ' ἔγωγε ὅσον αὐτίκα οἰόμενος ἐπιβήσειν αὐτὸν τῆς σοροῦ, ἔπεμπόν τε πολλά, ὡς μὴ ὑπερβάλλοιντό με οἱ ἀντερασταὶ τῇ μεγαλοδωρεᾷ. καὶ τὰ πολλὰ ὑπὸ φροντίδων, ἄγρυπνος ἐκείμην ἀριθμῶν ἕκαστα, καὶ διατάττων ταῦτα γοῦν μοι καὶ τοῦ ἀποθανεῖν αἴτια γεγένηται, ἀγρυπνία, καὶ φροντίδες. ὁ δὲ τοσοῦτόν μοι δέλεαρ καταπιὼν, ἐφειστήκει θαπτομένῳ πρῴην ἐπιγελῶν. ΠΛ. εὖγε ὦ Θούκριτε, ζῴης ἐπιμήκιστον, πλουτῶν ἅμα, καὶ τῶν τοιούτων καταγελῶν, μὴ δὲ πρότερόν γε σὺ ἀποθάνοις, ἢ προπέμψας πάντας τοὺς κόλακας. Τερ. τοῦτο μὲν, ὦ Πλούτων, καὶ ἐμοὶ ἥδιστον ἤδη, εἰ καὶ Χαρεάδης προτεθνήξεται Θουκρίτου. Πλου. θάρρει ὦ Τερψίων. καὶ Φείδων γὰρ, καὶ Μέλανθος, καὶ ὅλως ἅπαντες, προελεύσονται αὐτοῦ ὑπὸ ταῖς αὐταῖς φροντίσιν. Τερ. ἐπαινῶ ταῦτα. ζῴης ἐπιμήκιστον ὦ Θούκριτε.

ΖΗΝΟΦΑΝΤΟΥ καὶ ΚΑΛΛΙΔΗΜΙΔΟΥ.

Σὺ δ' ὦ Καλλιδημίδη, πῶς ἀπέθανες; ἐγὼ μὲν γὰρ, ὅτι παράσιτος ὢν Δεινίου, πλέον τοῦ ἱκανοῦ ἐμφαγὼν, ἀπεπνίγην,

οἶσθα.

rum Thucritus devoravit, cum semper eum mori putarem? & quoties ad eum ingrediebar gemebat, & internum quiddam, perinde atque ex ovo pullus aliquis immaturus, stridebat. Vnde quamprimum eum ad sepulchrum ductum iri existimans, multa illi dona mittebam, ut ne æmuli muneribus me præclaris vincerent. Plerumq; etiam præ nimia sollicitudine insomnis jacebam, singula enumerans, ac disponens. Eaq; etiam causa interitus mihi fuit, curæ & vigiliæ. Ille autem deglutito hoc illectamento meo tanto, adstitit mihi, quando sepeliebar paulo ante, irridens. PLUT. Euge, ô Thucrite, diutissimè vivas, unà & divitiis abundans, & hujuscemodi homines deridens, neq; prius moriaris, quam hos blanditores cunctos præmittas. TERP. Hoc quidem, ô Pluto, perjucundum mihi foret, si ante Thucritum Chariades vita decederet. PLUT. Boni animi sis ô Terpsio, & Phido etiam, & Melanthus, & omnes penitus ipsum præcedent, suis ipsorum curis confecti. TERP. Hæc ego summopere laudo, ô Thucrite diutissimè vivas.

ZENOPHANTÆ & CALLIDEMIDÆ.

AT tu Callidemides, quo pacto interiisti? Nam ipse quemadmodum Diniæ parasitus cum essem, immodica ingurgitatione præ-

οἶσθα, παρῆς γὰρ ἀποθνήσκοντί μοι. Καλ. παρῆν, ὦ Ζηνόφαντες, τὸ δ' ἐμὸν, παράδοξόν τι ἐγένετο. οἶσθα γὰρ καὶ σύ που Πτοιόδωρον τὸν γέροντα. Ζην. τὸν ἄτεκνον, τὸν πλούσιον, ᾧ σε τὰ πολλὰ ᾔδειν συνόντα; Κα. ἐκεῖνον αὐτὸν ἀεὶ ἐθεράπευον, ὑπισχνούμενον ἐπ' ἐμοὶ κληρονόμῳ τεθνήξεσθαι, ἐπεὶ δὲ τὸ πρᾶγμα ἐς μήκιστον ἐπεγίνετο, καὶ ὑπὲρ τὸν Τιθωνὸν ὁ γέρων ἔζη, ἐπίτομόν τινα ὁδὸν ἐπὶ τὸν κλῆρον ἐξεῦρον. πριάμενος γὰρ φάρμακον, ἀνέπεισα τὸν οἰνοχόον, ἐπειδὰν τάχιστα ὁ Πτοιόδωρος αἰτήσῃ πιεῖν, πίνει δ' ἐπιεικῶς, ζωρότερον ἐμβαλόντα ἐς κύλικα, ἕτοιμον ἔχειν αὐτὸ, καὶ ἐπιδοῦναι αὐτῷ, εἰ δὲ τοῦτο ποιήσει, ἐλεύθερον ἐπωμοσάμην ἀφήσειν αὐτόν. Ζην. τί οὖν ἐγένετο; πάνυ γάρ τι παράδοξον ἐρεῖν ἔοικας. Καλ. ἐπεὶ τοίνυν λουσάμενοι ἥκομεν, δύο ἤδη ὁ μειρακίσκος κύλικας ἑτοίμους ἔχων, τὴν μὲν τῷ Πτοιοδώρῳ τὴν ἔχουσαν τὸ φάρμακον, τὴν δ' ἑτέραν ἐμοὶ, σφαλεὶς οὐκ οἶδ' ὅπως, ἐμοὶ μὲν τὸ φάρμακον, Πτοιοδώρῳ δὲ τὸ ἀφάρμακτον ἐπέδωκεν εἶτα ὁ μὲν ἔπινεν, ἐγὼ δὲ αὐτίκα μάλα ἐκτάδην ἐκείμην, ὑποβολιμαῖος ἀντ' ἐκείνου νεκρός. τί τοῦτο γελᾷς ὦ Ζηνόφαντες; καὶ μὴν οὐκ ἔδειγε ἑταίρῳ ἀνδρὶ ἐπιγελᾶν. Ζην. ἀστεῖα, ὦ Καλλιδημίδη, πέπονθας.

focatus fuerint, nosti, aderas enim morienti. CALLID. *Aderam Zenophantes, Porrò mihi novum quiddam atque inopinatum accidit. Nam tibi quoque notus est Ptœodorus ille senex* ZENOPH. *Orbum illum dicis, ac divitem, apud quem te assiduè versari conspiciebam?* CALLID. *Illum semper captabam, colebamque, id mihi pollicens fore, ut meo bono quamprimum moreretur. Verùm cùm res in longum proferretur, sene videlicet, vel ultra Tithonios annos vivente, compendiariam quandam excogitavi viam, qua ad hæreditatem pervenirem. Siquidem empto veneno, pocillatori persuaseram, ut simulatque Ptœodorus potum posceret, bibebat autem admodum, præsentius in calicem injiceret, haberetque in promptu, porrecturus illi. Quod si fecisset, jurejurando confirmabam, me illum manumissurum.* ZENOPH. *Quid igitur accidit? nam inopinatum quiddam narraturus mihi videris.* CALLID. *Ubi jam loti venissemus, puer duobus paratis poculis, altero Ptœodoro cui venenum erat additum, altero mihi: nescio quomodo errans, mihi venenum, Ptœodoro porrexit innoxium. Mox ille quidem bibit, at ego protinus humi porrectus jacebam, suppositium videlicet illius loco funus. Quid hoc? Rides Zenophanta? Atqui non convenit amici malis illudere.* ZENOPH. *Nam eleganter ac lepidè tibi hæc res evenit. Porrò se-*

πουθας. ὁ γέρων δὲ τί πρὸς ταῦτα; Καλ. πρὸ τοῦ μὲν ὑπεταράχθη πρὸς τὸ αἰφνίδιον. εἶτα συνεὶς οἶμαι τὸ γεγενημένον, ἐγέλα καὶ αὐτὸς, οἷά γε ὁ οἰνοχόος εἴργασται. Ζην. πλὴν ἀλλ' οὐδὲ σὲ τὴν ἐπίτομον ἐχρῆν τραπέσθαι. ἧκε γὰρ ἄν σοι διὰ τῆς λεωφόρου ἀσφαλέστερον, εἰ καὶ ὀλίγῳ βραδύτερος ἦν.

ΚΝΗΜΩΝΟΣ καὶ ΔΑΜΝΙΠΠΟΥ.

ΤΟῦτ' ἐκεῖνο τὸ τῆς παροιμίας, ὁ νεβρὸς τὸν λέοντα. Δάμ. τί ἀγανακτεῖς ὦ Κνήμων; Κνή. πυνθάνῃ ὅ, τί ἀγανακτῶ; κληρονόμον ἀκούσιος καταλέλοιπα, κατασοφισθεὶς ὁ ἄθλιος, οὓς ἐβουλόμην ἂν μάλιστα ἔχειν τἀμὰ, παραλιπών. Δα. πῶς τοῦτ' ἐγένετο; Κνη. Ἑρμόλαον τὸν πάνυ πλούσιον ἄτεκνον ὄντα, ἐθεράπευον ἐπὶ θανάτῳ. κἀκεῖνος οὐκ ἀηδῶς τὴν θεραπείαν προσίετο, ἔδοξε δή μοι καὶ σοφὸν τοῦτ' εἶναι, θέσθαι διαθήκας ἐς τὸ φανερὸν, ἐν αἷς ἐκείνῳ καταλέλοιπα τἀμὰ πάντα, ὡς κἀκεῖνος ζηλώσειε, καὶ τὰ αὐτὰ πράξειε. Δάμ. τί οὖν δὴ ἐκεῖνος; Κνη. ὅ, τι μὲν αὐτὸς ἐνέγραψε ταῖς ἑαυτοῦ διαθήκαις,

οὐκ

nex ille, quid interim? CALLID. Primum ad casum subitum atque inexpectatum sanè conturbatus est. Deinde simulatque intellexit, id quod acciderat, puta pocillatoris errore factum, risit & ipse. ZENOPH. Verùm non oportuit ad compendium illud diverte, siquidem venisset tibi populari, vulgataq; via tutiueq;, etiamsi paulò serius.

KNEMONIS & DAMNIPPI.

Hoc illud est quod vulgò dici consuevit, Hinnulus leonem. DAM. Quid istuc est, quod tecum stomachare Knemon? KNE. Quid stomacher rogas? Equidem hæredem reliqui quendam præter animi sententiam, videlicet astu delusus miser, iis quos maxime mea cupiebam habere, præteritis. DAM. Sed istbæc quinam evenit? KNE. Hermolaum nobilem illum divitem, cum orbus esset, imminente morte captabam, assidens atque inserviens. Neque ille gravatim officium meum admittebat. At interim illud quoque mihi visum est scitum, consultumque, ut testamentum proferrem ac publicarem, quo illum rerum mearum in solidum hæredem instituueram, nimirum ut ille vicissim idem faceret meo provocatus exemplo. DAM. Ac quid tandem ille? KNE Quid ille suo in testamento scripserit, id quidem

οὐκ οἶδα. ἐγὼ γοῦν ἄφνω ἀπέθανον, τοῦ τέγους μοι ἐπιπεσόντος, καὶ νῦν Ἑρμόλαος ἔχει τὰ ἐμὰ, ὥσπερ τις λάβραξ, καὶ τὸ ἄγκιστρον τῷ δελέατι συγκατασπάσας. Δα. οὐ μόνον, ἀλλὰ καὶ αὐτόν σε τὸν ἁλιέα, ὥστε σόφισμα κατὰ σαυτοῦ συντέθεικας. Κνη. ἔοικα, οἰμώζω τοιγαροῦν.

ΧΑΡΩΝΟΣ καὶ ΕΡΜΟΥ.

Ἀκούσατε ὡς ἔχει ἡμῖν τὰ πράγματα. μικρὸν μὲν ἡμῖν, ὡς ὁρᾶτε, τὸ σκαφίδιον, καὶ ὑπόσαθρόν ἐστι, καὶ διαῤῥεῖ τὰ πολλά. καὶ ἢν τραπῇ ἐπὶ θάτερα, οἰχήσεται περιτραπέν. ὑμεῖς δὲ, τοσοῦτοι ἅμα ἥκετε, πολλὰ ἐπιφερόμενοι ἕκαστος. ἢν οὖν μετὰ τούτων ἐμβῆτε, δέδια μὴ ὕστερον μετανοήσετε, καὶ μάλιστα ὁπόσοι νεῖν οὐκ ἐπίστασθε. Νεκροὶ πῶς οὖν ποιήσαντες εὐπλοήσομεν; Χάρ. Ἐγὼ ὑμῖν φράσω. γυμνοὺς ἐπιβαίνειν χρὴ, τὰ περιττὰ ταῦτα πάντα ἐπὶ τῆς ἠϊόνος καταλιπόντας. μόλις γὰρ ἂν καὶ οὕτω δέξαιτο ὑμᾶς τὸ πορθμεῖον. σοὶ δὲ ὦ Ἑρμῆ, μελήσει τὸ ἀπὸ τούτου μηδένα παραδέχεσθαι αὐτῶν, ὃς ἂν μὴ ψιλὸς ᾖ, καὶ τὰ ἔπιπλα ὥσπερ ἔφην, ἀποβαλών. παρὰ δὲ τὴν ἀποβάθραν ἑστὼς, διαγίνωσκε αὐτοὺς, καὶ ἀναλάμβανε, γυμνοὺς ἐπιβαίνειν ἀναγ-

κάζων

ignoro. Cæterum ego repentè atque insperata vita decessi, tecta ruina oppressus. Et nunc Hermoalus me possidet, lupi cuiuspiam in morem ipso hamo cum esca pariter avulso. DA. Imo non escam modò cum hamo, quin etiam te quoque piscatorem simul abstulit. Itaque tubam istam, in tuum ipsius caput struxeras. KNE. Sic apparet, idq; adeo deploro.

CHARONTIS & MERCVRII.

AVdite quo loco sint res nostræ. Equidem parva est nobis, quemadmodum videtis, & cariosa navicula, & quæ undiq; perfluit: quod si in alteram partem se inclinarit, planè submersa peribit. Atqui vestrûm tam multi simul confluunt, & singuli plurimas sarcinas afferunt. Quod si cum his naviculam conscenderitis, vereor ne postea vos facti pœniteat, maximè verò eos, qui nandi sunt imperiti. MERC. Quid igitur faciendum erit, ut sine periculo navigemus? CHAR. Ego vobis dicam nudos vos ingredi oportet atque ista omnia quæ superflua sunt, in littore relinquere. Nam sic etiam vix capiet vos navicula. Tibi verò Mercuri deinceps curæ erit, neminem ex illis recipere, nisi nudus sit, & suppellectilem abjecerit. Itaque ad ipsas scalas te statuas, ipsosque cognoscito, & suspicito, nudosque ingredi cogito. MERC.

κάζων. Ερμ. εὖ λέγεις. καὶ οὕτω ποιήσωμεν. οὑτοσὶ τίς ὁ πρῶτός ἐστι; Μέν. Μένιππος ἔγωγε. ἀλλ᾽ ἰδοὺ ἡ πήρα μοι, ὦ Ερμῆ, καὶ τὸ βάκτρον, ἐς τὴν λίμνην ἀπορρίφθη. τὸν τρίβωνα δὲ οὐδ᾽ ἐκόμισα, εὖ ποιῶν. Ερ. ἔμβαινε ὦ Μένιππε ἀνδρῶν ἄριστε, καὶ τὴν προεδρίαν ἔχε παρὰ τὸν κυβερνήτην ἐφ᾽ ὑψηλοῦ, ὡς ἐπισκοπῇς ἅπαντας, ὁ καλὸς δ᾽ οὗτος, τίς ἐστι; Χ. Χαρμόλεως ὁ μεγαρικός. Ε. ἀπόδυθι τοιγαροῦν τὸ κάλλος, καὶ τὴν κόμην βαθεῖαν, καὶ τὸ ἐπὶ τῶν παρειῶν ἐρύθημα, καὶ τὸ δέρμα ὅλον. ἔχει καλῶς, εὔζωνος εἶ, ἐπίβαινε ἤδη, ὁ δὲ τὴν πορφυρίδα οὑτοσί, καὶ τὸ διάδημα, ὁ βλοσυρός, τίς ὢν τυγχάνεις; Λάμ. Λάμπιχος, Γελῴων τύραννος. Ερ. τί οὖν ὦ Λάμπιχε τοσαῦτα ἔχων πάρει; Λάμ. τί οὖν ἐχρῆν ὦ Ερμῆ γυμνὸν ἥκειν τύραννον ἄνδρα; Ερ. τύραννον μὲν οὐδαμῶς, νεκρὸν δὲ μάλα ὥστε ἀπόθου ταῦτα. Λ. ἰδού σοι ὁ πλοῦτος ἀπέρριπται. Ερ. καὶ τὸν τῦφον ἀπόρριψον ὦ Λάμπιχε, καὶ τὴν ὑπεροψίαν. βαρήσει γὰρ τὸ πορθμεῖον συνεμπεσόντα. Λάμ. οὐκοῦν ἀλλὰ τὸ διάδημα ἐασόν με ἔχειν, καὶ τὴν ἐφεστρίδα. Ερ. οὐδαμῶς· ἀλλὰ καὶ ταῦτα ἄφες. Λαμ. εἶεν. τί ἔτι; πάντα γὰρ ἀφῆκα, ὡς ὁρᾷς. Ερ. καὶ τὴν ὠμότητα, καὶ τὴν ἄνοιαν, καὶ τὴν ὕβριν, καὶ τὴν ὀργὴν καὶ ταῦτα ἄφες. Λαμ. ἰδού σοι, ψιλός εἰμι. Ερμ. ἐμ-

Recte dicis, atque sic faciemus. Quis est ille primus? MENIP. *Ego Menippus sum. Ecce autem peram & baculum in paludem abjeci, verum recte feci, quod pallium non acceperim.* MERCUR. *Ingredere ô Menippe, vir optime, primumque apud gubernatorem navis, locum accipe, in ipsa summitate, quo omnes possis intueri. Verum quis ille formosus est?* CHAR. *Charmolaus sum Magarensis.* MER. *Exue igitur istam pulchritudinem, istam etiam densam comam, & genarum ruborem, adeoque totam cutem. Bene se res habet: expeditus es, ingredere nunc. Quis vero ille est purpuratus & diademate præcinctus, gravitatem quandam præ se ferens? Quis es tu?* LAMP. *Lampichus sum Geloorum tyrannus.* MER. *Quid igitur cum tot sarcinis venisti?* LAMP. *Anne nudum adventare conveniebat tyrannum?* MERCUR. *Nequaquam tyrannum, sed mortuum, itaque depone ista.* LAMP. *Ecce abjeci divitias.* MERCUR. *Sed superbiam, ô Lampiche, & fastum etiam abjice, nam ista, si in naviculam coincidant, vehementer gravabunt eam.* LAMP. *Igitur sine ut diadema habeam saltem & stragulum.* MERCUR. *Nequaquam, imo & hæc relinquito.* LAMP. *Sit ita. Quid præterea vis? Nam omnia, ut vides, abjeci.* MERCUR. *Crudelitatem etiam, & amentiam, & violentiam iracundiam, atque his similia depone.* LAMP. *Ecce nudus*

βαῖνε ἤδη. σὺ δὲ ὁ παχύς, ὁ πολύσαρκος, τίς εἶ; Δαμ. Δαμασίας ὁ ἀθλητής. Ερ. ναί ἔοικας. οἶδα γάρ σε πολλάκις ἐν ταῖς παλαίστραις ἰδών. Δα. ναὶ ὦ Ερμῆ ἀλλὰ παράδεξαί με γυμνὸν ὄντα. Ερ. οὐ γυμνὸν ὦ βέλτιστε, τοσαύτας σάρκας περιβεβλημένον, ὥστε ἀπόδυθι αὐτάς, ἐπεὶ καταδύσεις τὸ σκάφος, τὸν ἕτερον πόδα ὑπερθεὶς μόνον. ἀλλὰ καὶ τοὺς στεφάνους τούτους ἀπόρριψον, καὶ τὰ κηρύγματα. Δα. Ἰδού σοι γυμνός, ὡς ὁρᾷς, ἀληθῶς εἰμι, καὶ ἰσοστάσιος, τοῖς ἄλλοις νεκροῖς. Ερ. Οὕτως ἄμεινον ἀβαρῆ εἶναι ὥστε ἔμβαινε. καὶ σὺ δὲ τὸν πλοῦτον ἀποθέμενος ὦ Κράτων· καὶ τὴν μαλακίαν δὲ προσέτι καὶ τὴν τρυφήν, μηδὲ τὰ ἐντάφια κόμιζε, μηδὲ τὰ τῶν προγόνων ἀξιώματα· κατάλιπε δὲ καὶ γένος, καὶ δόξαν καὶ εἴ ποτέ σε ἡ πόλις ἀνεκήρυξεν, εὐεργέτην δηλονότι, καὶ τὰς τῶν ἀνδριάντων ἐπιγραφὰς μηδὲ ὅτι μέγαν τάφον ἐπί σοι ἔχωσαν λέγε. βαρύνει γὰρ καὶ ταῦτα μνημονευόμενα. Κρ. Οὐχ ἑκὼν μέν, ἀπορρίψω δέ. τί γὰρ ἂν καὶ πάθοιμι. Ε. Βαβαί, σὺ δὲ ὁ ἔνοπλος, τί βούλει; ἢ τί τὸ τρόπαιον τοῦτο φέρεις; Κρ. ὅτι ἐνίκησα, ὦ Ερμῆ, καὶ ἠρίστευσα, καὶ ἡ πόλις ἐτίμησέ με. Ε. Αφες ἐν γῇ τὸ τρόπαιον. ἐν ᾅδου γὰρ εἰρήνη, καὶ οὐδὲν ὅπλων δεήσει. ὁ σεμνὸς δὲ οὗτος ἀπό γε τοῦ σχήματος, καὶ βρενθυόμενος, ὁ τὰς ὀφρῦς ἐπηρκώς, ἐπὶ τῶν φροντίδων, τίς ἐστιν, ὁ τὴν βαθεῖαν πώ-

γωνα

sum. MERCVR. Ingredere nunc. Tu verò pinguis admodum & carnosus quis es? DAM. Damasias ego sum athleta. MERCVR. Certè videris ille esse, scio enim te sæpè in palæstris à me visum. DAM. Ita est ô Mercuri, verùm accipe me, nudum existentem. MERCVR. Nequaquam, ô bone vir, nudus es tanta carne circumdatus, itaque exue eam. Nam si vel alterum tantum pedem in navem posueris, submerges eam. Sed & coronas istas & præconia abjicito. DAM. En plane nudus sum, ut vides, & simili cum aliis mortuis statura. MERC. Sic præstat levem esse, itaq; inscende jam. Et tu, ô Craton, divitias abjice, præterea mollitiem & delitias, neque feras tecum epitaphia, neque maiorum tuorum dignitates. Relinq; etiam genus, & gloriam, item civitatem, de quibus scilicet bene meritus es, publica præconia, statuarum inscriptiones, & dicas, ne tibi magnum sepulchrum construunt, nam & hæc gravant, si in memoriam revocentur. CRAT. Invitus certe, sed tamen abjiciam, quid enim faciam? M. Papæ, quid tibi vis armatus? aut quid istud trophæum tecum circumfers? CRAT. Quia vici Mercuri, & res præclaras gessi, propterea civitas hæc me honore affecit. MER. Relinq; trophæum in terra, apud inferos enim pax, neq; ullis armis opus est. Verùm quis ille est, ipso habitu gravitatem quandam præ se ferens, elatis & contractis superciliis propter curas, longa barba,

γωνα καθειμένος; Μέν. φιλόσοφός τις, ὦ Ἑρμῆ, μᾶλλον δὲ γόης, καὶ τερατείας μεστός. ὥστε ἀπόδυσον καὶ τοῦτον, ὄψει γὰρ πολλὰ καὶ γελοῖα ὑπὸ τῷ ἱματίῳ κρυπτόμενα. Ἑρ. κατάθου σὺ τὸ σχῆμα πρῶτον· εἶτα καὶ ταυτὶ πάντα ὦ Ζεῦ, ὅσην μὲν τὴν ἀλαζονείαν κομίζει, ὅσην δὲ ἀμαθίαν καὶ ἔριν, καὶ κενοδοξίαν, καὶ ἐρωτήσεις ἀπόρους, καὶ λόγους ἀκανθώδεις, καὶ ἐννοίας πολυπλόκους; ἀλλὰ καὶ ματαιοπονίαν μάλα πολλὴν, καὶ λῆρον οὐκ ὀλίγον, καὶ ὕθλους, καὶ μικρολογίαν, νὴ Δία καὶ χρυσίον γε τουτὶ, καὶ ἡδυπάθειαν δὲ, καὶ ἀναισχυντίαν, καὶ ὀργὴν, καὶ τρυφὴν, καὶ μαλακίαν, λέληθε γάρ με, εἰ καὶ μάλα περικρύπτεις, αὐτά, καὶ τὸ ψεῦδος δὲ ἀπόθου, καὶ τὸν τῦφον, καὶ τὸ οἴεσθαι ἀμείνω εἶναι τῶν ἄλλων. ὡς εἴ γε πάντα ταῦτα ἔχων ἐμβαίνοις, ποία πεντηκόντορος δέξαιτο ἄν σε; Φιλ. ἀποτίθεμαι τοίνυν αὐτὰ ἐπείπερ οὕτω κελεύεις. Μέν. ἀλλὰ καὶ τὸν πώγωνα τοῦτον ἀποθέσθω, ὦ Ἑρμῆ, βαρύν τε ὄντα, καὶ λάσιον, ὡς ὁρᾷς. πέντε μνῶν τρίχες εἰσὶ τοὐλάχιστον. Ε. εὖ λέγεις. ἀπόθου καὶ τοῦτον. Φιλ. καὶ τίς ὁ ἀποκείρων ἔσται; Ἑρμ. Μένιππος οὑτοσὶ, λαβὼν πέλεκυν τῶν ναυπηγικῶν, ἀποκόψει αὐτὸν ἐπικόπῳ τῇ ἀναβάθρᾳ χρησάμενος. Μέν. οὐκ ὦ Ἑρμῆ, ἀλλὰ πρίονά μοι ἀνάδος. γελοιότερον γὰρ

τοῦτο.

ba, quis est ipse ? MEN. Philosophus quidam est ô Mercuri, imo præstigiator & nugarum plenus. Itaque & hunc exue, videbis enim multa, eaque ridicula, sub palliolo occulta esse. MERC. Depone tu hunc habitum primum; deinde hæc quoque omnia. O Iupiter, quantam ille arrogantiam, quantã inscientiam, & quantum contentionum & inanis gloriæ, quantum quæstionum dubiarum, quantum spinosarum disputationum, & cogitationum perplexarum, circumfert ? imo quam multos vanos labores. & deliramenta non pauca, quantas item nugas, & quantam curiositatem. Sed per Iovem aurum etiam hic, & voluptatem, & impudentiam, iracundiam, delitias & mollitiem secum habet, neque enim latent me ista, etiamsi studiosè celas. Verùm abjice mendacia & superbiam, & opinionem illam, qua existimas te præstantiorem esse omnibus reliquis. Nam si cum rebus omnibus ingrediaris, quæ quinqueremis te acciperit ? PHIL. Depono igitur ea, quandoquidem sic jubes. MENIP. Sed & barbam hanc deponat, ô Mercuri, gravem equidem & hirsutam, ut vides, capilli sunt trium minarum minimum. MERC. Bene dicis. Depone & illam. PHIL. Sed quis abradet ? MER. Menippus ille securim accipiens, quibus naves fabricantur, eam resecabit, utetur autem scalis navalibus, quibus superposita barba resecetur. MEN. Nequaquam Mercuri, sed da mihi ser-

ram

τοῦτο. Ε. Ὁ πέλεκυς ἱκανός. Μ. Εὖγε· ἀνθρωπινώτερον γὰρ νῦν ἀναπέφηνας, ἀποθέμενος αὐτοῦ τὴν κινάβραν. βούλει μικρὸν ἀφέλωμαι καὶ τῶν ὀφρύων; Ερ. Μάλιστ' ὑπὲρ τὸ μέτωπον γὰρ καὶ ταύτας ἐπῆρκεν, οὐκ οἶδ' ἐφ' ὅτῳ ἀνατείνων ἑαυτόν. τί τοῦτο; καὶ δακρύεις, ὦ κάθαρμα, καὶ πρὸς θάνατον ἀποδειλιᾷς; ἔμβηθι δ' οὖν. Μέν. Ἓν ἔτι τὸ βαρύτατον ὑπὸ μάλης ἔχει. Ερ. Τί, ὦ Μένιππε; Μέν. Κολακείαν, ὦ Ἑρμῆ, πολλὰ ἐν τῷ βίῳ χρησιμεύσασαν αὐτῷ. Φιλ. Οὐκοῦν καὶ σὺ ὦ Μένιππε, ἀπόθου τὴν ἐλευθερίαν, καὶ παῤῥησίαν, καὶ τὸ ἄλυπον, καὶ τὸ γενναῖον, καὶ τὸν γέλωτα· μόνος γοῦν τῶν ἄλλων γελᾷς; Ερ. Μηδαμῶς. ἀλλὰ καὶ ἔχε ταῦτα, κοῦφα γὰρ καὶ πάνυ εὔφορα ὄντα, καὶ πρὸς τὸν κατάπλουν χρήσιμα. καὶ ὁ ῥήτωρ δὲ σὺ, ἀπόθου τῶν ῥημάτων τὴν τοσαύτην ἀπεραντολογίαν, καὶ ἀντιθέσεις, καὶ παρισώσεις, καὶ περιόδους, καὶ βαρβαρισμοὺς, καὶ τ' ἄλλα βάρη τῶν λόγων. Ρη. Ἤν, ἰδοὺ ἀποτίθεμαι. Ερ. Εὖ ἔχει, ὥστε λύε τὰ ἀπόγεια. τὴν ἀποβάθραν ἀνελώμεθα. τὸ ἀγκύριον ἀνεσπάσθω. πέτασον τὸ ἱστίον. εὔθυνε ὦ πορθμεῦ τὸ πηδάλιον. εὐπαθῶμεν. τί οἰμώζετε ὦ μάταιοι, καὶ μάλιστα ὁ φιλόσοφος σὺ, ὁ ἀρτίως τὸν πώγωνα δεδῃωμένος; Φιλ. Ὅτι ὦ Ἑρμῆ ἀθάνατον ᾤμην τὴν ψυχὴν ὑπάρχειν. Μέν. Ψεύδεται. ἄλλα γὰρ ἔοικε λυπεῖν αὐτόν. Ερ. Τὰ ποῖα;

Μέν.

ram, hoc enim erit magis ridiculum. MER. Sufficit bipennis. MEN. Euge, Humanior nunc appares, deposito hircino fœtore, visne ut paurum etiam de superciliis auferam? MER. Maximè: Nam hæc super frontem etiam attollit, nescio quo seipsum extendat, Quid hoc rei est? Etiam ploras sceleste? & mortem times? ingredere igitur. MENIP. Unum quiddam adhuc gravissimum gestat sub alis. MERCUR. Quid Menippe? MENIP. Adulationem, Mercuri, quæ illi dum viveret, multum profuit. PHIL. Igitur & tu Menippe, tuam abjice libertatem, & loquendi audaciam, lætitiam, animi magnitudinem, & risum. An tu solus alios omnes ridebis? MERCUR. Nequaquam, sed retine ista, levia enim sunt & planè facilia portatu, & ad navigandum prosunt. Tu verò Rhetor, abjice istam tantam verborum loquacitatem & antitheses, & similitudines, item periodos & Barbarismos atque alia sermonis pondera. RHE. En abjicio. MERCUR. Benè se habent res. Itaque solve funem, attollamus scalas, attrahatur anchora, expande velum, atque nauta clavum dirige. Simus hilares, quid ploratis ô vos amentes? præsertim tu philosophe, qui paulò ante tua barba spoliatus es. PHIL. Quia existimabam immortalem esse animam. MENIP. Mentitur nam alia sunt, quæ videntur eum mœrore afficere. MERCUR. Qualia? MENIP. Quia non

am.

Μέ. ὅτι μηκέτι δειπνήσει πολυτελῆ δεῖπνα·
μηδὲ ἐξαπατῶν τοὺς νέους ἐπὶ τῇ σοφίᾳ,
ἀργύριον λήψεται. ταῦτα λυπεῖ αὐτόν.
Φιλ. σὺ δὲ ὦ Μένιππε, οὐκ ἄχθῃ ἀποθανών;
Μ. πῶς, ὃς ἔσπευσα ἐπὶ τὸν θάνατον, καλέ-
σαντος μηδενός; ἀλλὰ μεταξὺ λόγων, οὐ
κραυγή τις ἀκούεται ὥσπερ τινῶν ἀπὸ γῆς
βοώντων; Ερ. ναὶ ὦ Μένιππε. οὐκ ἀφ' ἑνός
γε χώρου, ἀλλ' οἱ μὲν ἐς τὴν ἐκκλησίαν συ-
νελθόντες, ἄσμενοι γελῶσι πάντες ἐπὶ τῷ
Λαμπίχου θανάτῳ, καὶ ἡ γυνὴ αὐτοῦ συνέ-
χεται πρὸς τῶν γυναικῶν, καὶ τὰ παιδία νεο-
γνὰ ὄντα, ὁμοίως κἀκεῖνα ὑπὸ τῶν παίδων
βάλλονται ἀφθόνοις τοῖς λίθοις. ἄλλοι δὲ
Διόφαντον τὸν ῥήτορα ἐπαινοῦσιν ἐν Σικυῶνι,
ἐπιταφίους λόγους διεξιόντα ἐπὶ Κράτωνι
τούτῳ. καὶ νὴ Δία γε, ἡ Δαμασίου μήτηρ κω-
κύουσα, ἐξάρχει τοῦ θρήνου σὺν γυναιξὶν
ἐπὶ τῷ Δαμασίᾳ, σὲ δὲ οὐδεὶς ὦ Μένιππε
δακρύει, καθ' ἡσυχίαν δὲ κεῖσαι μόνος. Μεν.
οὐδαμῶς, ἀλλ' ἀκούσῃ τῶν κυνῶν μετ'
ὀλίγον ὠρυομένων οἴκτιστον ἐπ' ἐμοί, καὶ τῶν
κοράκων τυπτομένων τοῖς πτεροῖς, ὁπότ'
ἂν συνελθόντες θάπτωσί με. Ερ. γεννάδας
εἶ ὦ Μένιππε. ἀλλ' ἐπεὶ καταπεπλεύκα-
μεν ἡμεῖς μὲν ἄπιτε πρὸς τὸ δικαστή-
ριον, εὐθεῖαν ἐκείνην προϊόντες. ἐγὼ δὲ καὶ
ὁ πορθμεὺς, ἄλλους μετελευσόμεθα. Μεν.
εὐπλοεῖτε ὦ Ἑρμῆ. προΐωμεν δὲ καὶ ἡμεῖς,
τί

amplius tam opiparas cœnas habebit, nec mane deceptis adolescentibus sua sapientia, pecuniam accipiet: hæc sunt quæ illi dolent. PHIL. An tibi molestum non est, Menippe, quod mortuus es? MENIP. quomodo posset esse molestum mihi, qui ad mortem festinavi, nemine vocante? Verum nonne clamor quidam interim dum nos confabulamur, exauditus est? veluti quorundam in terram vociferantium. MERCUR. Certe Menippe, verum non uno tantum loco exauditur clamor, sed quidam in unum cœtum convenientes, cum voluptate derident mortuum Lampichum, & illius uxorem mulieres circumstrepunt, atque illius pueri nuper admodum geniti, multis lapidibus à pueris obruuntur. Quidam Diophantum Rhetorem laudant in Sicyone funebres orationes recitantem, de hoc Cratene. & per levum Damasiæ mater ululans, lamentationem incœptat unà cum mulieribus pro Damasia. Te vero, Menippe, nemo est qui deploret, & tranquillus jaces solus. MENIPPUS. Nequaquam, nam haud ita multò pòst, audies canes miserabiliter latrantes propter me, & corvos alas concutientes quando ad sepeliendum me convenient. MERCURIUS. Fortis es Menippe: Sed quia jam transfretavimus, abite vos rectà per hanc viam ad forum judiciale. Ego vero & nauta alios transvectabimus. MEN. Fœliciter navigate ô Mercuri, nos quoque progrediemur.

τί οὖν ἔτι καὶ μέλλετε; δικασθῆναι δεήσει, καὶ τὰς καταδίκας φασὶν εἶναι βαρείας, τροχούς, καὶ γῦπας, καὶ λίθους. δειχθήσεται δὲ ὁ ἑκάστου βίος.

ΚΡΑΤΗΤΟΣ καὶ ΔΙΟΓΕΝΟΥΣ.

Μοίριχον τὸν πλούσιον, ἐγίνωσκες ὦ Διόγενες, τὸν πάνυ πλούσιον, τὸν ἐκ Κορίνθου, τὸν τὰς πολλὰς ὁλκάδας ἔχοντα, οὗ ἀνεψιὸς Ἀριστέας, πλούσιος καὶ αὐτὸς ὤν, τὸ ὁμηρικὸν ἐκεῖνο εἰώθει ἐπιλέγειν, ἤ μ' ἀνάειρ' ἢ ἐγώ σε. ΔΙΟ. τίνος ἕνεκα, ὦ Κράτης, ἐθεράπευον ἀλλήλους; ΚΡΑ. τοῦ κλήρου ἕνεκα ἑκάτερος ἡλικιῶται ὄντες, καὶ τὰς διαθήκας ἐς τὸ φανερὸν ἐτίθεντο. Ἀριστέαν μὲν ὁ Μοίριχος εἰ προαποθάνοι, δεσπότην ἀφιεὶς τῶν ἑαυτοῦ πάντων. Μοίριχον δὲ ὁ Ἀριστέας, εἰ προαπέλθοι αὐτοῦ. ταῦτα μὲν ἐγέγραπτο, οἱ δὲ ἐθεράπευον ἀλλήλους, ὑπερβαλλόμενοι τῇ κολακείᾳ. καὶ οἱ μάντεις, εἴτε ἀπὸ τῶν ἄστρων τεκμαιρόμενοι τὸ μέλλον, εἴτε ἀπὸ τῶν ὀνειράτων, ὥς γε Χαλδαίων παῖδες, ἀλλὰ καὶ ὁ Πύθιος αὐτός, ἄρτι μὲν Ἀριστέᾳ παρεῖχε τὸ κράτος, ἄρτι δὲ Μοιρίχῳ, καὶ τὰ τάλαντα, ποτὲ μὲν ἐπὶ

τοῦτον

mur. Verùm quid diutius moramini? Iudicium de nobis ferri oportebit, & quidem aiunt pœnas esse graves, rotas, vultures, & lapides. uniuscuiusque autem vita examinabitur.

CRATETIS & DIOGENIS.

MOERICHUM divitem, noveras ne Diogenes? illum, inquam, supra modum divitem, illum Corintho profectum, cui tot erant naves onustæ mercibus, cuius consobrinus Aristeas, cùm ipse quoque dives esset, Homericum illud in ore solebat habere: *Aut me confice tu, aut ego te te.* DIOGEN. Cuius rei gratia sese captabant invicem, Crates? CR. Hæreditatis caussa; cum essent æquales, uterq; alterum captabant. Iamq; testamenta publicaverant ambo, in quibus Mœrichus (si prior moreretur) Aristeam omnium rerũ suarum dominũ relinquebat: Mœrichum vicissim Aristeas, siquidem ipse prior e vita decederet. Hæc igitur cum essent in tabulis scripta, illi inter sese captabant, & alter alterum adulationibus obsequiisq; superare contendebant. Porrò divini, haud scio utrum ex astris id quod futurum sit conjectantes, an ex somniis, quemadmodum Chaldæi faciunt, quin & Pythius ipse, nunc Aristeam victorem fore pronunciabat, nunc Mœrichum, ac trutina quidem interim

τοῦτον, νῦν δ' ἐπ' ἐκεῖνον ἔρρεπε. Διογ. πῆ οὖν πέρας ἐγένετο ὦ Κράτης; ἀκοῦσαι γὰρ ἄξιον. Κρατ. ἄμφω τεθνᾶσιν ἐπὶ μιᾶς ἡμέρας, οἱ δὲ κλῆροι, ἐς Εὐνόμιον καὶ Θρασυκλέα περιῆλθον, ἄμφω συγγενεῖς ὄντας, οὐδὲ πώποτε προμαντευομένους οὕτω γενέσθαι ταῦτα. διαπλέοντες γὰρ ἀπὸ Σικυῶνος ἐς Κίρραν, κατὰ μέσον τὸν πόρον πλαγίῳ περιπεσόντες τῷ Ἰάπυγι, ἀνετράπησαν. Διογ. εὖ ἐποίησαν. ἡμεῖς δὲ, ὁπότε ἐν τῷ βίῳ ἦμεν, οὐδὲν τοιοῦτο ἐνενοοῦμεν περὶ ἀλλήλων. οὔτε πώποτε ηὐξάμην Ἀντισθένην ἀποθανεῖν, ὡς κληρονομήσαιμι τῆς βακτηρίας αὐτοῦ, εἶχεν δὲ πάνυ καρτερὰν ἐκ κοτίνου ποιησάμενος. οὔτε οἶμαι σὺ ὦ Κράτης ἐπεθύμεις κληρονομεῖν ἀποθανόντος ἐμοῦ, τὰ κλήματα, καὶ τὸν πίθον, καὶ τὴν πήραν, χοίνικας δύο θέρμων ἔχουσαν. Κρατ. οὐδὲν γάρ μοι τούτων ἔδει, ἀλλ' οὐδέ σοι ὦ Διόγενες. ἃ γὰρ ἐχρῆν, σύ τε Ἀντισθένους ἐκληρονόμησας, καὶ ἐγὼ σοῦ, πολλῷ μείζω καὶ σεμνότερα τῆς Περσῶν ἀρχῆς. Διο. τίνα ταῦτα φὴς; Κρατ. σοφίαν, αὐτάρκειαν, ἀλήθειαν, παῤῥησίαν, ἐλευθερίαν. Διογ. νὴ Δία μέμνημαι, τοῦτον διαδεξάμενος τὸν πλοῦτον παρ' Ἀντισθένους, καὶ σοὶ ἔτι πλείω καταλιπών. Κρατ. ἀλλ' οἱ ἄλλοι

ἠμέλουν

im ad hunc, interim ad illum propendebat. ...og. Quid igitur tandem evenit? nam audi... ... operæ pretium. CRAT. Eodem die ...tui sunt ambo, cæterum hæreditates ad ...nomium ac Trasyclem devenerunt, quo... ...n uterque cognatus illis erat, atqui de his ...il prædixerant divini futurum, ut tale ...ppium accideret. Etenim cum Sicyone ...rbam versus navigarent, medio in cursu, ...iquo orto Iapyge, eversa navi perierunt. ...og. Rectè factum: at nos cum in vita es...mus, nihil ejusmodi alter de altero cogita...mus. Neque enim ego unquam optabam ut ...iretur Antisthenes, quo nimirum baculus ...us (erat autem illi firmus ex oleastro fa...us) ad me rediret hæredem, neque tu Crates, ...iar, desiderabas ut me mortuo, in possessio...m mearum successionem venires, puta dolii ...peræ. in qua quidem lupini chœnices inerant ...e. CR. Neq; enim mihi quicquam istis rebus ...at opus, imo ne tibi quidem Diogenes, siquidē ...e ad rem pertinebāt: quæq; tu Antisthenis suc...dens accepisti, tibi ea nimirum multò sunt ...tiora multóq; splendidiora, quàm vel Persa...m imperium D. Quænam sunt ista quæ dicis? ...R. Sapientiam, inquam, frugalitatem, veri...tem dicendi, vivendiq; libertatem. DI. Per ...ovem memini me in istiusmodi opum hæredi...tem Antistheni successisse, tibiq; eas longè eti...m majores reliquisse. CRAT. Verùm reliqui

mortales

ἠμέλουν τῶν τοιούτων κτημάτων, καὶ οὐδ-
ἐθεράπευεν ἡμᾶς, κληρονομήσειν προσδο-
κῶν, ἐς δὲ τὸ χρυσίον πάντες ἔβλεπον. Δι-
ογένης. Εἰκότως· οὐ γὰρ εἶχον ἔνθα δέξαιντ-
τὰ τοιαῦτα παρ' ἡμῶν διερρυηκότες ὑπ-
τρυφῆς, καθάπερ τὰ σαθρὰ τῶν βαλαν-
τίων. ὥστε εἴποτε καὶ ἐμβάλλοι τις ἐς αὐτ-
ἢ σοφίαν, ἢ παρρησίαν, ἢ ἀλήθειαν, ἐξέ-
πιπτεν εὐθὺς, καὶ διέρρει, τοῦ πυθμένος στέ-
γειν οὐ δυναμένου, οἷόν τι πάσχουσιν αἱ τοῦ Δα-
ναοῦ αὗται παρθένοι, ἐς τὸν τετρυπημέν-
πίθον ἐπαντλοῦσαι. τὸ δὲ χρυσίον, ὀδοῦ-
καὶ ὄνυξι, καὶ πάσῃ μηχανῇ ἐφύλαττον.
Κράτ. Οὐκοῦν ἡμεῖς μὲν ἕξομεν κἀνταῦ-
τὸν πλοῦτον. οἱ δὲ ὀβολὸν ἥξουσι κομίζοντες
καὶ τοῦτον ἄχρι τοῦ πορθμέως.

ΑΛΕΞΑΝΔΡΟΥ,
ΑΝΝΙΒΟΥ,
ΜΙΝΩΟΣ, καὶ
ΣΚΙΠΙΩΝΟΣ.

Ἐμὲ δεῖ προκεκρίσθαί σου ὦ Λίβυ. ἀμεί-
νων γάρ εἰμι. Αννιβ. Οὐ μὲν οὖν, ἀλλ' ἐμ-
Αλ. οὐκοῦν, ὁ Μίνως δικασάτω. Μιν. τίνες δ-
ἐστέ; Αλ. οὗτος μὲν, Αννίβας ὁ Καρχηδό-
νιος, ἐγὼ δὲ, Ἀλέξανδρος ὁ Φιλίππ-
Μ. νὴ Δία ἔνδοξοί γε ἀμφότεροι, ἀλλὰ π-

τίνος

rtales hoc possessionum genus aspernabantur, q; quisquã nos ob spem potiundæ hæreditatis quis captabat, sed ad aurum omnes intendent oculos. D. Nec iniuria, neq; enim habent, quo facultates eiusmodi à nobis traditas perent, quippe rimosi jam, viciatiq; deliciis, aliter quam vasa carie putrida. Quo fit, ut quando quis in illos infundat vel sapientiam, libertatẽ, vel veritatem effluat ilico pestil. q. fundo, quod immissũ est, continere non vate, cujusmodi quiddam & Danai filiabus unt accidere, dum in dolium pertusum haum aquam important, at iidem aurum ntibus & unguibus, omnique vi servabant RAT. Proinde nos hic quoque nostras posdebimus opes, illi simul atque huc venerint, olum duntaxat secum ferent, ac ne hunc idem ulterius quàm ad portitorem.

ALEXANDER,
HANNIBAL,
MINOS, &
SCIPIO.

O LIBYCE, me decet præponi, melior quidem sum. HANNIB. Imò vero me. L. Iudicet ergo Minos. MIN. Quinam estis ? ALEX. Hic est Hannibal Carthaginensis, ego autem Alexander Philippi regis filius. MIN. Per Jovem utrique gloriosi. Sed qua de

τίνος ὑμῶν ἡ ἔρις; Αλέξ. περὶ προεδρίας φησί, γὰρ οὗτος ἀμείνων γεγενῆσθαι στρατηγὸς ἐμοῦ ἐγὼ δέ. ὥσπερ ἅπαντες ἴσασιν, οὐχὶ τούτου μόνον, ἀλλὰ πάντων σχεδὸν τῶν πρὸ ἐμοῦ φημὶ διενεγκεῖν τὰ πολέμια. Μιν. οὐκοῦν ἐν μέρει ἑκάτερος εἰπάτω. σὺ δὲ πρῶτος ὁ Λίβυς λέγε. Αν. ἓν μὲν τοῦτο, ὦ Μίνως ὠνάμην ὅτι ἐνταῦθα καὶ τὴν ἑλλάδα φωνὴν ἐξέμαθον, ὥστε οὐδὲ ταύτῃ πλέον οὗτος ἐνέγκαιτό μου. φημὶ δὲ τούτους μάλιστα ἐπαίνου ἀξίους εἶναι, ὅσοι τὸ μηδὲν ἐξ ἀρχῆς ὄντες, ὅμως ἐπὶ μέγα προεχώρησαν, δι᾽ αὑτῶν δύναμίν τε περιβαλλόμενοι, καὶ ἄξιοι δόξαντες ἀρχῆς. ἐγὼ γοῦν μεθ᾽ ὀλίγων ἐξορμήσας ἐς τὴν Ἰβηρίαν, τὸ πρῶτον, ὕπαρχος ὢν τῷ ἀδελφῷ, μεγίστων ἠξιώθην, ἄριστος κριθεὶς καὶ τούς γε Κελτίβηρας εἷλον, καὶ Γαλατῶν ἐκράτησα τῶν ἑσπερίων, καὶ τὰ μεγάλα ὄρη ὑπερβὰς, τὰ περὶ τὸν Ηριδανὸν, ἅπαντας κατέδραμον, καὶ ἀναστάτους ἐποίησα τοσαύτας πόλεις, καὶ τὴν πεδινὴν Ἰταλίαν ἐχειρωσάμην, καὶ μέχρι τῶν προαστείων τῆς προὐχούσης πόλεως ἦλθον, καὶ τοσούτους ἀπέκτεινα μιᾶς ἡμέρας, ὥστε τοὺς δακτυλίους αὐτῶν μεδίμνοις ἀπομετρῆσαι, καὶ τοὺς ποταμοὺς γεφυρῶσαι νεκροῖς καὶ ταῦτα πάντα ἔπραξα, οὔτε Ἀμμώνος υἱὸς ὀνομαζόμενος, οὔτε θεὸς εἶναι προσποιούμενος, ἢ ἐνύπνια τῆς μητρὸς διεξιών, ἀλλ᾽ ἄνθρωπος εἶναι ὁμολογῶν, στρατηγοῖς τε τοῖς συνετωτάτοις ἀντεξεταζόμενος, καὶ στρα-

ere vobis altercatio est? ALEXAND. De
præstantia, dicit enim is sese meliorem quam
me ducem exercitus fuisse. ego verò, quem-
admodum omnes sciunt, non hoc solùm, sed
omnibus fermè, qui ante meam ætatem fuere,
in re militari, præstantiorem me esse affirmo.
MIN. Dicat ergo uterque vicissim, tu verò, ô
Libyce, prius loquaris. HANNIB. Vnum hoc
me juvat, quod & hic sermonem Græcum didi-
cerim, ut neque etiam hac in re Alexander me
superet. Porro illos maxime laude dignos puto,
qui cum parvi à principio fuere, propria virtu-
te ad magnam gloriam evasere, potentesq; per
se ipsi facti, & principatu digni habiti. Ego
igitur cum paucis quibusdam Hispaniam pri-
mùm invadens, cùm sub fratre præfectum age-
rem, maximis rebus idoneus atq; optimus judi-
catus sum. Ibi tum Celtiberos cepi, atq; Gallos
ipsos devici. Et cùm magnos montes transmi-
grâssem, omnem Eridanum transcurri, multasq;
civitates everti, & planam Italiam subjuga-
vi, & usque ad suburbia Romæ grassatus sum,
atque uno die Romanos cecidi, ut annulos
eorum modiis mensurari oportuerit, & ex ca-
daveribus pontes fluminibus fecerim. Atque
hæc omnia peregi, nec Ammonis dictus filius,
neque Deum me fingens, aut matris in somnia
narrans, sed me hominem fatebar, pugnabam-
que contra duces magna prudentia, contra
milites

πρώταις τοῖς μαχιμωτάτοις συμπλεκόμε-
νος· οὐ Μήδους καὶ Ἀρμενίους καταγωνιζόμε-
νος ὑποφεύγοντας πρὶν διώκειν τινά, καὶ τῷ
τολμήσαντι παραδιδόντας εὐθὺς τὴν νίκην.
Ἀλέξανδρος δὲ, πατρῴαν ἀρχὴν παρα-
λαβὼν, ηὔξησε καὶ παραπολὺ ἐξέτεινε χρη-
σάμενος τῇ τῆς τύχης ὁρμῇ. ἐπεὶ δ' οὖν ἐνί-
κησέ τε, καὶ τὸν ὄλεθρον ἐκεῖνον Δαρεῖον ἐν
Ἰσσῷ τε καὶ Ἀρβήλοις ἐκράτησεν, ἀποστὰς τῶν
πατρῴων, προσκυνεῖσθαι ἠξίου. καὶ δίαιταν
μηδικὴν μετεδιῄτησεν ἑαυτὸν, καὶ ἐμιαιφόνει
ἐν τοῖς συμποσίοις τοὺς φίλους, καὶ συνελάμ-
βανεν ἐπὶ θανάτῳ. ἐγὼ δὲ ἦρξα ἐπίσης τῆς
πατρίδος, καὶ ἐπειδὴ μετεπέμπετο, τῶν πολε-
μίων μεγάλῳ στόλῳ ἐπιπλευσάντων τῇ λι-
βύῃ, ταχέως ὑπήκουσα. καὶ ἰδιώτην ἐμαυτὸν
παρέσχον. καὶ καταδικασθεὶς, ἤνεγκα εὐ-
γνωμόνως τὸ πρᾶγμα. καὶ ταῦτ' ἔπραξα,
βάρβαρος ὢν, καὶ ἀπαίδευτος παιδείας
ἑλληνικῆς. καὶ οὔτε Ὅμηρον, ὥσπερ οὗτος, ῥαψῳ-
δῶν, οὔτε ὑπ' Ἀριστοτέλει τῷ σοφιστῇ
παιδευθεὶς, μόνῃ δὲ τῇ φύσει ἀγαθῇ χρησά-
μενος. ταῦτά ἐστιν, ἃ ἐγὼ Ἀλεξάνδρου ἀμεί-
νων φημὶ εἶναι. εἰ δ' ἐστὶ καλλίων οὑτοσὶ, διότι
διαδήματι τὴν κεφαλὴν διεδέδετο, Μακε-
δόσι μὲν ἴσως καὶ ταῦτα σεμνά, οὐ μὴν διὰ
τοῦτ' ἀμείνων δόξειεν ἂν γενναίου, καὶ στρατη-
γικοῦ ἀνδρὸς τῇ γνώμῃ πλέον ἤπερ τῇ τύχῃ
κεχρημένου. Μ. ὁ μὲν εἴρηκεν οὐκ ἀγεννῆ τὸν
λόγον, οὐδ' ὡς Λίβυν εἰκὸς ἦν ὑπὲρ αὑτοῦ.

σὺ

milites magna audacia atque fortitudine præditos. Non adversus Medos, aut Armenios, qui antequam quispiam sequatur, fugiunt, & facile cuivis ardenti victoriam tradunt. Alexander vero regni patris successor, & id fortunæ quodam impetu ampliavit. Qui cum devicto misero illo Dario, apud Issum & Arbelas victoriam cepit, antiquam ex patre consuetudinem omittens, adorari sese voluit, seseque ad Medorum delicias ac vivendi modum contulit, atque in conviviis amicos intermit, interficiendisque auxilium tulit. Ego autem patriæ æquum me præbui, quæ cùm me revocaret, hostium magna classe adversus Lybiam navigante, parui, continuòque me hominem privatum reddi, & damnatus æquo animo rem tuli. Atque hæc egi barbarus cùm essem, omnisque Græcorum disciplinæ expers, & neque Homerum, ut hic, edidici, neque Aristotele sophista magistro eruditus fui, sed solam mea natura optima sum usus. Hæc sunt quibus me meliorem Alexandro esse puto. Si verò ea causa mihi hic præferendus est, quod caput diademate ornaverit, id forum forsan apud Macedones est, non tamen ob id præstantior hic videri debet generoso duce, & viro, qui mentis sententia magis quàm fortuna est usus. MIN. Hic orationem neque ignavam, neque ut Ly-

σὺ δὲ ὦ Ἀλέξανδρε, τί πρὸς ταῦτα φής; A. Ἐχρῆν μὲν ὦ Μίνως, μηδὲν πρὸς ἄνδρα οὕτω θρασύν. ἱκανὴ γὰρ ἡ φήμη διδάξαι σε, οἷος μὲν ἐγὼ βασιλεὺς, οἷος δὲ οὗτος λῃστὴς ἐγένετο. ὅμως δὲ ὅρα εἰ κατ' ὀλίγον αὐτοῦ διήνεγκα. ὃς νέος ὢν ἔτι, παρελθὼν ἐπὶ τὰ πράγματα, καὶ τὴν ἀρχὴν τεταραγμένην κατέσχον, καὶ τοὺς φονέας τοῦ πατρὸς μετῆλθον, κᾆτα φοβήσας τὴν Ἑλλάδα τῇ Θηβαίων ἀπωλεία, στρατηγὸς ὑπ' αὐτῶν χειροτονηθεὶς, καὶ οὐκ ἠξίωσα τὴν Μακεδόνων ἀρχὴν περιέπων, ἀγαπᾶν ἄρχειν ὁπόσων ὁ πατὴρ κατέλιπεν, ἀλλὰ πᾶσαν ἐπινοήσας τὴν γῆν, καὶ δεινὸν ἡγησάμενος εἰ μὴ ἁπάντων κρατήσαιμι, ὀλίγους ἄγων ἐσέβαλον εἰς τὴν Ἀσίαν, καὶ ἐπί τε Γρανικῷ ἐκράτησα μεγάλῃ μάχῃ καὶ τὴν Λυδίαν λαβὼν, καὶ Ἰωνίαν, καὶ Φρυγίαν, καὶ ὅλως τὰ ἐν ποσὶν ἀεὶ χειρούμενος, ἦλθον ἐπὶ Ἰσσὸν, ἔνθα Δαρεῖος ὑπέμεινε, μυριάδας πολλὰς στρατοῦ ἄγων. καὶ τὸ ἀπὸ τούτου, ὦ Μίνως, ὑμεῖς ἴστε ὅσους ὑμῖν νεκροὺς ἐπὶ μιᾶς ἡμέρας κατέπεμψα. φησὶ γοῦν ὁ πορθμεὺς, μὴ διαρκέσαι αὐτοῖς τότε τὸ σκάφος, ἀλλὰ σχεδίας ἐπιπηξαμένους τοὺς πολλοὺς αὐτῶν διαπλεῦσαι. καὶ ταῦτα ἔπραττον αὐτὸς προκινδυνεύων, καὶ τιτρώσκεσθαι ἀξιῶν. καὶ ἵνα σοι μὴ τὰ ἐν Τύρῳ μηδὲ τὰ ἐν Ἀρβήλοις διηγήσωμαι, ἀλλὰ μέχρις Ἰνδῶν ἦλθον, καὶ τὸν Ὠκεανὸν ὅρον ἐποιησάμην τῆς ἀρχῆς. καὶ τοὺς ἐλέφ-

bjecum decebat, dixit: tu verò Alexander quid ad hæc inquis? ALEXANDER. Oportebat quidem, ô Minos, homini adeò temerario nihil respondere. Sola enim te fama satis edocere potest, qualis ego rex, qualis hic latro habitus fuerit. Advertite tamen, an parum ipsum superaverim, qui cum adolescens adhuc essem rem aggressus, regnum obtinui, & de patris me interemptoribus supplicium sumpsi. At cum Thebas subvertissem, toti Græciæ terror fui, ab ea dux electus. Neque dignum putavi, Macedonum regno me contentum esse, quod pater reliquerat, sed totum terrarum orbem sitivi, durum existimans, nisi rerum omnium dominus essem: paucos quosdam mecum agens in Asiam exercitum traduxi, & apud Granicum magna pugna vici, Lydiam, Ioniam, Phrygiam cepi. Et tandem quæcunque transieram subjugans, veni ad Issum, ubi Darius me expectabat, infinitos exercitus secum agens. Post hæc ô Minos, vos ipsi scitis, quot ad vos uno die mortuos miserim. Dicit enim Charon, tunc sibi scapham non sufficisse, sed ratibus compositis, illorum plerosque se transportasse, atque hæc confeci meipsum periculis opponens, & in pugna vulnerari non timens. Et ut quæ apud Tyrum & Arbelas gesta sunt omittam, usque ad Indos veni, atque Oceanum mei regnum terminum feci, & illorum hominum elephantes

τας αὐτῶν εἷλον, καὶ Πῶρον ἐχειρωσάμην καὶ Σκύθας δὲ οὐκ εὐκαταφρονήτους ἄνδρας ὑπερβὰς τὸν Τάναϊν, ἐνίκησα, μεγάλῃ ἱππομαχίᾳ, καὶ τοὺς φίλους εὖ ἐποίησα, καὶ τοὺς ἐχθροὺς ἠμυνάμην, εἰ δὲ καὶ θεὸς ἐδόκουν τοῖς ἀνθρώποις, συγγνωστοὶ ἐκεῖνοι παρὰ τὸ μέγεθος τῶν πραγμάτων. καὶ τοιοῦτόν τι πιστεύσαντες περὶ ἐμοῦ. τὸ δ' οὖν τελευταῖον, ἐγὼ μὲν βασιλεύων ἀπέθανον, οὗτος δὲ ἐν φυγῇ ὢν, παρὰ Προυσίᾳ τῷ Βιθυνῷ, καθάπερ ἄξιον ἦν, πανουργότατον καὶ ὠμότατον ὄντα. ὡς γὰρ δὴ ἐκράτησε τῶν Ἰταλῶν, ἐῶ λέγειν, ὅτι οὐκ ἰσχύϊ, ἀλλὰ πονηρίᾳ, καὶ ἀπιστίᾳ, καὶ δόλοις. νόμιμον δὲ, ἢ προφανὲς, οὐδέν. ἐπεὶ δέ μοι ὠνείδισε τὴν τρυφήν, ἐκλελῆσθαί μοι δοκεῖ οἷα ἐποίει ἐν Καπύῃ, τοὺς τοῦ πολέμου καιροὺς ὁ θαυμάσιος καθηδυπαθῶν. ἐγὼ δὲ, εἰ μὴ μικρὰ τὰ ἑσπέρια δόξας, ἐπὶ τὴν ἕω μᾶλλον ὥρμησα, τί ἂν μέγα ἔπραξα; Ἰταλίαν ἀναιμωτὶ λαβὼν, καὶ Λιβύην, καὶ τὰ μέχρι Γαδείρων ὑπαγόμενος. ἀλλ' οὐκ ἀξιόμαχα ἔδοξέ μοι ἐκεῖνα, ὑποπτήσσοντα ἤδη καὶ δεσπότην ὁμολογοῦντα. εἴρηκα. σὺ δὲ ὦ Μίνως δίκαζε· ἱκανὰ γὰρ ἀπὸ πολλῶν καὶ ταῦτα. ΣΚΙ. Μὴ πρότερον, ἢν μὴ καὶ ἐμοῦ ἀκούσῃς. ΜΙΝ. Τίς γὰρ εἶ

ὦ

cepi, ac Porum captivum abduxi. Scythas vero homines certe non spernendos, Tanaim transiens magna equitum pugna vici, ac amicos meos renumeravi, inimicos autem ultus sum. Si vero Deus hominibus videbar, parcendum illis erat. Nam rerum magnitudine, ut tale aliquid de me crederent, inducti sunt. Tandem mors me v ge a occupavit. Hic autem Hannibal apud Prusiam Bythiniæ exulavit, ut crudelissimo & pessimo homini conveniens erat. Nam quo pacto Italos vicit omitto dicere, quia non virtute, sed malitia atque perfidia & dolis id peregit, nunquam alicujus claritudinis aut justi memor. Sed quoniam, quod deliciose vixerim, vituperavit, oblitus mihi videtur eorum, quæ apud Capuam admiserit. Ibi enim voluptatibus vir iste mirabilis, belli gerendi occasiones perdidit. Ego vero nisi ea quæ sub Occidente sunt, parva quidem putans, versus Orientem me impulissem, quidnam adeo magni profecissem? qui Italiam absque sanguine cepi, ac Lybiam, omnemq; eam terram usq; ad Gades sub potestatem redegi. Sed hæc ego tanta contentione digna non putavi, præsertim jam antea illis perculsis, ac dominum agnoscentibus. Dixi. Tu vero, Minos, judica. Nam & hæc è multis protulisse, satis est.

SCIP. Non, nisi me quoque prius audias ô Minos. MIN. Quis tu vir optime es? aut unde?

ὦ βέλτιστε; ἢ πόθεν ὢν ἐρεῖς; ΣΚΙΠ. Ἰταλιώτης Σκιπίων, στρατηγὸς, ὁ καθελὼν Καρχηδόνα, καὶ κρατήσας Λιβύων μεγάλαις μάχαις. ΜΙΝ. τί οὖν καὶ σὺ ἐρεῖς; ΣΚΙ. Ἀλεξάνδρου μὲν ἥττων εἶναι. τοῦ δ' Ἀννίβου ἀμείνων. ὃς ἐδίωξα νικήσας αὐτὸν, καὶ φυγεῖν καταναγκάσας ἀτίμως. πῶς οὖν οὐκ ἀναίσχυντος οὗτος, ὃς πρὸς Ἀλέξανδρον ἁμιλλᾶται, ᾧ οὐδὲ Σκιπίων ἐγὼ ὁ νενικηκὼς αὐτὸν, παραβάλλεσθαι ἀξιῶ; ΜΙΝ. νὴ Δί' εὐγνώμονα φῂς ὦ Σκιπίων. ὥστε πρῶτος μὲν κεκρίσθω Ἀλέξανδρος, μετ' αὐτὸν δὲ σύ. εἶτα εἰ δοκεῖ, τρίτος Ἀννίβας, οὐδὲ οὗτος εὐκαταφρόνητος ὤν.

ΔΙΟΓΕΝΟΥΣ καὶ ΑΛΕΞΑΝΔΡΟΥ.

ΤΙ τοῦτο ὦ Ἀλέξανδρε, καὶ σὺ τέθνηκας ὥσπερ ἡμεῖς ἅπαντες; ΑΛΕΞ. Ὁρᾷς ὦ Διόγενες, οὐ παράδοξον δὲ, εἰ ἄνθρωπος ὢν, ἀπέθανον. ΔΙΟ. οὐκοῦν ὁ Ἄμμων ἐψεύδετο. λέγων ἑαυτοῦ σε εἶναι υἱόν. σὺ δὲ Φιλίππου ἄρα ἦσθα; ΑΛ. Φιλίππου δηλαδή. οὐ γὰρ ἂν ἐτεθνήκειν Ἄμμωνος ὤν. ΔΙΟ. Καὶ μὴν καὶ περὶ τῆς Ὀλυμπιάδος τῆς μητέρος σου ὅμοια πολλὰ ἐλέγοντο. ΑΛΕΞ. Κἀγὼ ταῦτα ἤκουον ὥσπερ σύ. νῦν δὲ ὁρῶ ὅτι οὐδὲν ὑγιὲς

ὑπ

uid hisce claris ducibus te conferre audes? Scip. Scipio Romanus, qui Carthaginem devi, & Afros multis magnis praeliis devici. Min. Quid igitur & tu dicis? Scip. Alexandro quidem minorem esse me, Annibale autem praestantiorem, ut qui ipsum victum persecutus fuerim, & ad turpem fugam compulerim. Quomodo ergo non impudens iste videtur, qui cum Alexandro sese comparet, cui ne ipse quidem Scipio, qui istum devici, comparare me ausim? Min. Per Iovem aequa dicis, Scipio, quapropter primus quidem judicetur Alexander, deinde post illum tu, atque tum si placet, tertius hic Hannibal, quippe qui nec ipse contemnendus existat.

DIOGENIS & ALEXANDRI.

Quid hoc rei Alexander, ita ne defunctus es tu quoque, perinde atque nos omnes? Al. Vides nimirum Diogenes, tametsi mirandum non est, si homo cum fuerim, defunctus sim. Diog Ergo Iupiter ille Hammon mentiebatur, cùm te suum esse filium diceret, annon tu Philippo, patre progenatus eras? Al. Haud dubiè Philippo, neque enim obiissem, si Hammone parente fuissem progenitus. Diog. Atqui de Olympiade consimilia multa ferebantur. Al. Audieram quidem & ipsè ista, quemadmodum

οὔτε ἡ μήτηρ, οὔτε οἱ τῶν Ἀμμωνίων προφῆται ἔλεγον. Διογ. Ἀλλὰ τὸ ψεῦδος αὐτῶν οὐκ ἄχρηστόν σοι, ὦ Ἀλέξανδρε, πρὸς τὰ πράγματα ἐγένετο. πολλοὶ γὰρ ὑπέπτησσον, θεόν σε νομίζοντες. ἀτὰρ εἰπέ μοι, τίνι τὴν τοσαύτην ἀρχὴν καταλέλοιπας; Ἀλέξ. Οὐκ οἶδα, ὦ Διόγενες. οὐ γὰρ ἔφθασα ἐπισκῆψαί τι περὶ αὐτῆς, ἢ τοῦτο μόνον, ὅτι ἀποθνήσκων, Περδίκκᾳ τὸν δακτύλιον ἐπέδωκα. πλὴν ἀλλὰ τί γελᾷς, ὦ Διόγενες; Δι. Τί γὰρ ἄλλο. ἢ ἀνεμνήσθην οἷα ἐποίει ἡ Ἑλλάς, ἄρτι σε παρειληφότα τὴν ἀρχὴν κολακεύοντες, καὶ προστάτην αἱρούμενοι, καὶ στρατηγὸν ἐπὶ τοὺς βαρβάρους, ἔνιοι δὲ καὶ τοῖς δώδεκα θεοῖς προστιθέντες, καὶ νεὼς οἰκοδομούμενοι, καὶ θύοντες ὡς δράκοντος υἱῷ; ἀλλ' εἰπέ μοι, ποῦ σε οἱ Μακεδόνες ἔθαψαν; Α. Ἔτι ἐν Βαβυλῶνι κεῖμαι τρίτην ταύτην ἡμέραν. ὑπισχνεῖται δὲ Πτολεμαῖος ὁ ὑπασπιστής, ἤν ποτε ἀγάγῃ σχολὴν ἀπὸ τῶν θορύβων τῶν ἐν ποσίν, ἐς Αἴγυπτον ἀπαγαγών με, θάψειν ἐκεῖ, ὡς γενοίμην εἷς τῶν Αἰγυπτίων θεῶν. Δ. Μὴ γελάσω, ὦ Ἀλέξανδρε, ὁρῶν ἐν ᾅδου ἔτι σε μωραίνοντα, καὶ ἐλπίζοντα Ἄνουβιν ἢ Ὄσιριν γενέσθαι; πλὴν ἀλλὰ ταῦτα μέν, ὦ θειότατε, μὴ ἐλπίσῃς. οὐ γὰρ θέμις ἀνελθεῖν τινα τῶν

ἅπαξ

su, at nunc video, neq; matrem neq; Hammonios illos vates, sani quicquam dixisse. DIOG. Attamen istud illorum mendacium, Alexander, ad res gerendas, haudquaquam tibi fuit inutile, propterea quod multi prae metu sese submiserint, credentes te Deum esse. Sed dic mihi, cuinam tam ingens illud imperium moriens reliquisti? AL. Id equidem ignoro Diogenes, celerius enim è vita submovebar, quàm ut esset ocium de illo quicquam statuendi, praeter id unum, quod moriens Perdiccae annulum tradidi. Sed age quid rides Diogenes? D. Quid ni rideam? annon memini quid Graeci fecerint, cùm nuper tibi adepto imperia adularentur, principemque ac ducem adversus barbaros deligerent: nonnulli vero in duodecim deorum numerum referrent, ac phana constituerent, deniq; sacra facerent tanquam Draconis filio? Sed illud mihi dicito, ubi te sepelierunt Macedones? ALEX. Etiam dum in Babylone jaceo tertium jam diem, porro Ptolemaeus ille satelles meus, si quando detur ocium ab his rerũ tumultibus, qui nunc instant, pollicetur in Aegyptum deportaturum me, atq; ibi sepulturum, quo videlicet unus fiam ex diis Aegyptiis. DI. Non possum non ridere Alexander, qui quidem te videam etiam apud inferos desipientem sperantem q; fore, ut aliquando vel Anubis fias, vel Osiris. Quin tu spes istas omitte ô divinissime, neq; enim fas est reverti quenquam, qui semel

ἅπαξ διαπλευσάντων τὴν λίμνην, καὶ ἐς τὸ εἴσω τοῦ στομίου παρελθόντων. οὐ γὰρ ἀμελὴς ὁ Αἰακὸς, οὐδ' ὁ Κέρβερος εὐκαταφρόνητος. ἐκεῖνα δὲ ἡδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρεις ὁπότ' ἂν ἐννοήσῃς ὅσην εὐδαιμονίαν ὑπὲρ γῆς ἀπολιπὼν, ἀφῖξαι, σωματοφύλακας καὶ ὑπασπιστὰς, καὶ σατράπας, καὶ χρυσὸν τοσοῦτον, καὶ ἔθνη προσκυνοῦντα, καὶ Βαβυλῶνα, καὶ Βάκτρα, καὶ τὰ μεγάλα θηρία, καὶ τιμὴν, καὶ δόξαν, καὶ τὸ ἐπίσημον εἶναι, ἐλαύνοντα, διαδεδεμένον ταινίᾳ λευκῇ τὴν κεφαλὴν, πορφυρίδα ἐμπεπορπημένον. οὐ λυπεῖ ταῦτά σε ὑπὸ τὴν μνήμην ἰόντα; τί δακρύεις ὦ μάταιε; οὐδὲ ταῦτά σε ὁ σοφὸς Ἀριστοτέλης ἐπαίδευσε, μὴ οἴεσθαι βέβαια εἶναι τὰ παρὰ τῆς τύχης; Ἀλέξ. Σοφὸς, ἁπάντων ἐκεῖνος κολάκων ἐπιτριπτότατος ὤν; ἐμὲ μόνον ἔασον τὰ Ἀριστοτέλους εἰδέναι ὅσα μὲν ᾔτησε παρ' ἐμοῦ, οἷα δὲ ἐπέστελλεν. ὡς δὲ κατεχρῆτό μου τῇ περὶ παιδείαν φιλοτιμίᾳ, θωπεύων, καὶ ἐπαινῶν, ἄρτι μὲν ἐς τὸ κάλλος, ὡς καὶ τοῦτο μέρος ὂν τἀγαθοῦ, ἄρτι δ' ἐς τὰς πράξεις, καὶ τὸν πλοῦτον· καὶ γὰρ αὖ καὶ τοῦτ', ἀγαθὸν ἡγεῖτ' εἶναι, μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων. γόης, ὦ Διόγενες, ἄνθρωπος, καὶ τεχνίτης. πλὴν ἀλλὰ τοῦτό γε ἀπολέλαυκα αὐτοῦ τῆς σοφίας, τὸ λυπεῖσθαι ὡς ἐπὶ μεγίστοις ἀγα-

θοῖς,

nei transmiserit paludem, atque intra specus piatum descenderit, propterea quod neque indigens est Æacus, neque contemnendus Cerberus. Verum illud abs te discere pervelim, quo feras animo, quoties in mentem redit, quanta felicitate apud superos relicta, huc sis profectus, puta corporis custodibus satellitibus, ducibus, tum auri tanta vi, ad hoc populis qui te adorabant, praeterea Babylone, Bactris, immanibus illis beluis, dignitate, gloria, deinde quod eminebas conspicuus, dum vectareris, dum amiculo candido caput haberes revinctum, dum purpura circum amictus esses? num quid haec te discruciant, quoties recursant animo? Quid lacbrymaris stulte? an non id te sapiens ille docuit Aristoteles, ac firmas existimares? ALEX. Sapiens ille, cum sit assentatorum omnium perditissimus. Sine me solum Aristotelis facta scire quàm multa à me petierit, quae mihi scripserit: deinde quemadmodum abusus sit mea illa ambitione, qua cupiebam eruditione caeteris praestare, cum mihi palparetur interim, ac praedicaret me, nunc ob formam, tanquam & ipsa summi boni pars quaedam esset, nunc ob res gestas atq; opes, nam has quoq; in bonorum numero collocandas esse censebat, ne sibi vitio verteretur, quod eas acciperet. Planè praestigiosus vir ille quidē erat, ac fraudulentus ô Diogenes: quanquam istud fructus scilicet ex illius sapientia fero, quod nunc perinde quasi summis de bonis

θοῖς, ἃ κατηριθμήσω μικρῷ γε ἔμπροσθεν. ΔΙΟΓ. ἀλλ' οἶσθα ὃ δράσεις; ἄκος γάρ σοι τῆς λύπης ὑποθήσομαι, ἐπεὶ ἐνταῦθά γε ἐλλέβορος οὐ φύεται, σὺ δὲ κἂν τὸ λήθης ὕδωρ χανδὸν ἐπισπασάμενος πίε, καὶ αὖθις πίε, καὶ πολλάκις. οὕτω γὰρ ἂν παύσῃ ἐπὶ τοῖς Ἀριστοτέλους ἀγαθοῖς ἀνιώμενος. καὶ γὰρ καὶ Κλεῖτον ἐκεῖνον ὁρῶ, καὶ Καλλισθένη, καὶ ἄλλους πολλοὺς ἐπὶ σὲ ὁρμῶντας, ὡς διασπάσαιντο, καὶ ἀμύναιντο ὧν ἔδρασας αὐτούς. ὥστε τὴν ἑτέραν σὺ ταύτην βάδιζε, καὶ πῖνε πολλάκις ὡς ἔφην.

ΑΛΕΞΑΝΔΡΟΥ καὶ ΦΙΛΙΠΠΟΥ.

Νῦν μὲν ὦ Ἀλέξανδρε, οὐκ ἂν ἔξαρνος γένοιο, μὴ οὐκ ἐμὸς υἱὸς εἶναι. οὐ γὰρ ἂν ἐτεθνήκεις, Ἄμμωνός γε ὤν. Ἀλέξ. οὐδ' αὐτὸς ἠγνόουν, ὦ πάτερ, ὡς Φιλίππου τοῦ Ἀμύντου υἱός εἰμι, ἀλλ' ἐδεξάμην τὸ μάντευμα, ὡς χρήσιμον ἐς τὰ πράγματα οἰόμενος εἶναι. Φιλ. Πῶς λέγεις; χρήσιμον ἐδόκει σοι, τὸ παρέχειν σεαυτὸν ἐξαπατηθησόμενον ὑπὸ τῶν προφητῶν; Αλ. Οὐ τοῦτο. ἀλλ' οἱ βάρβαροι κατεπλάγησάν με, καὶ οὐδεὶς ἔτι ἀνθίστατο, οἰόμενοι θεῷ μάχεσθαι.

ὥστε

bonis excrucior, ob ista quæ tu paulò ante commemorasti. DI. At scin' quid facies? ostendam tibi molestiæ istius remedium. Quandoquidem in his locis veratrum nō provenit, fac ut Lethei fluminis aquam avidis faucibus attrahens bibas, iterumq; ac sæpius bibas: atq; eo pacto desines de bonis Aristotelicis discruciari. Verùm etiam Cletum etiam illum & Callisthenem video, cumq; his alios complureis raptim huc sese ferentes, quo te discerpant pœnasq; sumant ob ea quæ quondam in illos commisisti. Quare fac in alteram hanc ripam te conferas, & crebrius, ut dixi bibas.

ALEXANDRI & PHILIPPI.

NON igitur inficiaberis Alexander ex me prognatum te esse filium. Nam si ad Iovem Hammonem genus paternum referres, mortem non obiisses. AL. Neq; vero nescius eram pater, Philippi Amyntæ me esse filium, sed quia ad res gerendas sic mihi visum erat conducere commento hoc usus sum vaticinii. PHI Quid ais? Conducibile id tibi visum, ut vatibus impostoribus fallendum te exponeres? AL. Non istuc, sed barbaros in mei admirationem tractos facilius hoc prætextu nostro subadidimus imperio, cū nemo unus virib. nostris hactenus restiterit quippe hac sola opinione ducti q; adversus Deum sibi

esset

ὥστε ῥᾷον ἐκράτουν αὐτῶν. ΦΙΛΙΠ. Τίνων
ἐκράτησας σύ γε ἀξιομάχων ἀνδρῶν, ὃς
δειλοῖς ἀεὶ συνηνέχθης, τοξάρια καὶ πελ-
τάρια, καὶ γέῤῥα οἰσύινα προβεβλημένοις;
Ἑλλήνων κρατεῖν ἔργον ἦν, Βοιωτῶν, καὶ
Φωκέων καὶ Ἀθηναίων, καὶ τὸ Ἀρκάδων ὁπλι-
τικὸν, καὶ τὴν Θετταλὴν ἵππον, καὶ τοὺς
Ἠλείων ἀκοντιστὰς καὶ τὸ Μαντινέων πελτα-
στικὸν, ἢ Θρᾷκας, Ἰλλυριοὺς, ἢ καὶ Παίονας
χειρώσασθαι, ταῦτα μεγάλα. Μήδων δὲ,
καὶ Περσῶν, καὶ Χαλδαίων, καὶ χρυσοφό-
ρων ἀνθρώπων, καὶ ἁβρῶν, οὐκ οἶσθα ὡς πρὸ
σοῦ μύριοι μετὰ Κλεάρχου ἀνελθόντες, ἐκρά-
τησαν, οὐδ' εἰς χεῖρας ὑπομεινάντων ἐλθεῖν
ἐκείνων, ἀλλὰ πρὶν ἢ τόξευμα ἐξικνεῖσθαι,
φυγόντων; Αλ. ἀλλ' οἱ Σκύθαι γε, ὦ πάτερ,
καὶ οἱ Ἰνδῶν ἐλέφαντες, οὐκ εὐκαταφρό-
νητόν τι ἔργον. καὶ ὅμως οὐ διαστήσας αὐτοὺς,
οὐδὲ προδοσίαις ὠνούμενος τὰς νίκας, ἐ-
κράτουν αὐτῶν. οὐδ' ἐπιώρκησα πώποτε, ἢ
ὑποσχόμενος ἐψευσάμην, ἢ ἄπιστον ἔπρα-
ξά τι τοῦ νικᾷν ἕνεκα, καὶ τοὺς Ἕλληνας δὲ, τοὺς
μὲν ἀναιμωτὶ παρέλαβον, Θηβαίους δὲ
ἴσως ἀκούεις ὅπως μετῆλθον. Φ. Οἶδα ταῦτα
πάντα. Κλεῖτος γὰρ ἀπήγγελλέ μοι, ὃν σὺ
τῷ δορατίῳ διελάσας μεταξὺ δειπνοῦν-
τα ἐφόνευσας, ὅτι με πρὸς τὰς σὰς πράξεις
ἐπαινέσαι ἐτόλμησε. σὺ δὲ καὶ τὴν Μακεδο-

νικὴν

esset preliandum. PHIL. *Quos tu igitur tanto conatu dignos, unquam vicisti? qui cum timidis illis arculis, peltariis, ac gerris vimineis pugnare solitis semper congressus es? Atqui Græcos armis domare, Bœotios, Phocenses, Athenienses, & id genus alios, operis fuerat strenui atque magnifici. Arcadum insuper sustinere armaturam, equitatum Thessalum, Eleorum jaculatores, Mantineos peltis instructos, aut cum Thracibus, Illyriciis, Pæonibusve, manum conserere, operosum profecto atque arduum id fuisset inprimis. Cæterum Medos, Persas, & Chaldæos delicatos ac plurimo auro conspicuos, non satis compertum habes, quonam modo ante te, duce Clearcho, decies mille viri bello adorti expugnarint, fœde in fugam actos antequam ad manus ventum fuisset?* AL. *At verò Scithæ pater, & Indici elephantes res sunt non usque adeo abjectæ & contemptibiles. Et tamen neque concitatis inter ipsos intestinis odiis, neque per proditionem mihi venundari passus sum victoriam. Sed neq; dejeravi unquam, aut per nugas à pollicito recessi, fidemq; solvi victoriæ gratia. Adde, quod & Græcos sine sanguine in deditionem accepi, Thebanos autem fortassis ipse audisti, quomodo aggressus fuerim.* PHIL. *Novi hæc omnia ex Cliio, quem tu inter epulas, eo quod nomen meum celebraret, & meas res gestas cum tuis conferre audiret, trajecto per corpus telo, tum jugularas. Tu vero & Macedonicam*

νικὴν χλαμύδα καταβαλὼν κάνδυν, ὥς φασι, μετενέδυς, καὶ τιάραν ὀρθὴν ἐπέθου, καὶ προσκυνεῖσθαι ὑπὸ Μακεδόνων, ὑπ' ἐλευθέρων ἀνδρῶν ἠξίους. καὶ τὸ πάντων γελοιότατον, ἐμιμοῦ τὰ τῶν νενικημένων. ἐῶ γὰρ λέγειν ὅσα ἄλλα ἔπραξας, λέουσι συγκατακλείων πεπαιδευμένους ἄνδρας, καὶ γάμους τοιούτους γαμῶν, καὶ Ἡφαιστίωνα ὑπεραγαπῶν. ἓν ἐπῄνεσα μόνον ἀκούσας, ὅτι ἀπέσχου τῆς τοῦ Δαρείου γυναικὸς καλῆς οὔσης, καὶ τῆς μητρὸς αὐτοῦ, καὶ τῶν θυγατέρων ἐπεμελήθης. βασιλικὰ γὰρ ταῦτα. Ἀλέξανδ. Τὸ φιλοκίνδυνον δέ, ὦ πάτερ οὐκ ἐπαινεῖς, καὶ τὸ ἐν Ὀξυδράκαις πρῶτον καθαλέσθαι εἰς τὰ ἐντὸς τοῦ τείχους, καὶ τοσαῦτα λαβεῖν τραύματα; Φιλιπ. Οὐκ ἐπαινῶ τοῦτο, ὦ Ἀλέξανδρε, οὐχ ὅτι μὴ καλὸν εἶναι οἶμαι καὶ τιτρώσκεσθαί ποτε τὸν βασιλέα, καὶ προκινδυνεύειν τοῦ στρατοῦ, ἀλλ' ὅτι σοι τοιοῦτο ἥκιστα συνέφερε. θεὸς γὰρ εἶναι δοκῶν, εἴ ποτε τρωθείης, καὶ βλέποιεν σε φοράδην τοῦ πολέμου ἐκκομιζόμενον, αἵματι ῥεόμενον, οἰμώζοντα ἐπὶ τῷ τραύματι, ταῦτα γέλως ἦν τοῖς ὁρῶσι, καὶ ὁ Ἄμμων, γόης, καὶ ψευδόμαντις ἠλέγχετο, καὶ οἱ προφῆται, κόλακες. ἢ τίς οὐκ ἂν ἐγέλασεν, ὁρῶν τὸν τοῦ Διὸς υἱὸν λειποψυχοῦντα, δεόμενον τῶν ἰατρῶν βοηθεῖν;

γδι

cedonicam chlamydem abjiciens, candyn, Persicum amictum, recepisti (ut aiunt) & tiaram rectam, & à Macedonibus, viris utique liberis, adorari voluisti. Et qui, quod maxime omnium erat ridiculum, hominum abs te victorum mores imitatus es. Tempero mihi, ne memorem alia, quæ turpiter admiseris in leonum claustra inclusis doctis viris, & nuptiis talibus peractis, quodque Ephæstionem plusquam esset satis, amaris. Vnum est quod solum laudo abs te gestum, quod à Darii uxore, forma præstante, abstinueris, & genetricis illius, atq; filiarum, curam susceperis. Regium enim id opus extitit. AL. *Quomodo autem tibi non probatur pater, quod in Oxydracis gente Indica lubens me in periculum conjecerim, atque acceptis pluribus vulneribus muros primus omnium transilierim?* PHI. *Non probo Alexander, non quia pulchrum esse negem, vulnerari quandoque imperatorem, & pro exercitu periculum subire, sed quia ex re tua isthoc erat minime. Siquidem pro Deo habitus, quos, oro, visus præbebas spectatoribus quando post acceptum vulnus è prælio efferebaris, mœensq; ac ejulans sanguine fluitabas? Adde quod Iupiter Hammon tanquam præstigiator quispiam, & mendax vates palam arguebatur, & ipsius Prophetæ, adulatores. Non enim video qualiter risum contineat, qui Jovis filium viderit animo deficientem, efflagitantem*

νῦν μὲν γὰρ ὁπότε ἤδη τέθνηκας, οὐκ οἴει πολλοὺς εἶναι τοὺς τὴν προσποίησιν ἐκείνην ἐπικερτομοῦντας, ὁρῶντας τὸν νεκρὸν τοῦ θεοῦ ἐκταδὴν κείμενον, μυδῶντα ἤδη καὶ ἐξῳδηκότα, κατὰ νόμον σωμάτων ἁπάντων; ἄλλως τε, καὶ τὸ χρήσιμον, ὃ ἔφης Ἀλέξανδρε, τὸ διὰ τοῦτο κρατεῖν ῥᾳδίως, πολὺ τι τῆς δόξης ἀφῃρεῖτο τῶν κατορθουμένων. πᾶν γὰρ ἐδόκει ἐνδεὲς ὑπὸ θεοῦ γίνεσθαι δοκοῦν. Αλ. Οὐ ταῦτα φρονοῦσιν οἱ ἄνθρωποι περὶ ἐμοῦ, ἀλλ' Ἡρακλεῖ καὶ Διονύσῳ ἐνάμιλλον τιθέασί με. καὶ τοι τὴν Ἄορνον ἐκείνην οὐθ' ἑτέρου ἐκείνων λαβόντος, ἐγὼ μόνος ἐχειρωσάμην. Φιλ. ὁρᾷς ὅτι ταῦτα ὡς υἱὸς Ἄμμωνος λέγεις; ὃς Ἡρακλεῖ καὶ Διονύσῳ παραβάλλεις σεαυτόν, καὶ οὐκ αἰσχύνῃ ὦ Ἀλέξανδρε, οὐδὲ τὸν τῦφον ἀπομαθήσῃ, καὶ γνώσῃ σεαυτόν, καὶ συνήσεις ἤδη νεκρὸς ὤν.

ΑΧΙΛΛΕΩΣ καὶ ΑΝΤΙΛΟΚΟΥ.

Ἀντίλοχος.

Οἷα πρώην Ἀχιλλεῦ πρὸς τὸν Ὀδυσσέα σοι εἴρηται περὶ τοῦ θανάτου, ὡς ἀ-

em medicorum auxilia. Denique cùm tandem am mortem obieris, quem credas, obsecro, qui simulationem illam non carpat maledictis? potissimum ubi Dei istius cadaver porrectum iacere, & juxta aliorum corporum morem, am humore putrifico affectum & turgidum aspexerit. Caeterum quod ais Alexander, tibi fuisse conducibile, quo facilius rerum potireris, id profecto multum tibi gloriae ex bene etiam ac strenuè gestis eripuit. Nam diis longe inferiora agere visus es. ALEX. Haudquaquam de me istud sentiunt mortales, sed cum Hercule ac & Baccho conferunt, veluti aemulum, utrique, cum illis gloria certantem. Nam & Aornum, à neutro etiam illorum armis subactum, ego solus cepi. PHIL. Etiamdum videris ista ut Hammonis filius dicere? quando nec Baccho quidem cedis, aut Herculi, sed nec erubescere nosti Alexander, solitamve dediscere arrogantiam, teipsum deinde noscere, vel jam tandem sapere, ubi fate occubueris.

ACHILLIS & ANTILOCHI.

ANTILOCHUS.

QUAENAM sunt illa Achilles, quae tu Ulyssi jam primum dixisti de morte, ut minime

γεννῆ καὶ ἀνάξια τοῖν διδασκάλοιν ἀμφοῖν, Χείρωνός τε καὶ Φοίνικος; ἠκροώμην γὰρ ὁπότε ἔφης βούλεσθαι ἐπάρουρος ὢν, θητεύειν παρά τινι τῶν ἀκλήρων, ᾧ μὴ βίοτος πολὺς εἴη μᾶλλον, ἢ πάντων ἀνάσσειν τῶν νεκρῶν. ταῦτα μὲν οὖν ἀγεννῆ τινα φρύγα δειλὸν, καὶ πέρα τοῦ καλῶς ἔχοντος φιλόζωον ἴσως ἐχρῆν λέγειν. τὸν Πηλέως δὲ υἱὸν τὸν φιλοκινδυνότατον ἡρώων ἁπάντων, ταπεινὰ οὕτω περὶ αὑτοῦ διανοεῖσθαι, πολλὴ αἰσχύνη, καὶ ἐναντιότης πρὸς τὰ πεπραγμένα σοι ἐν τῷ βίῳ. ὃς ἐξὸν ἀκλεῶς ἐν τῇ φθιώτιδι πολυχρόνιον βασιλεύειν, ἑκὼν προείλου τὸν μετὰ τῆς ἀγαθῆς δόξης θάνατον.

Αχιλλ. Ω παῖ Νέστορος, ἀλλὰ τότε μὲν ἄπειρος ἔτι τῶν ἐνταῦθα ὢν, καὶ τὸ βέλτιον ἐκείνων ὁπότερον ἦν ἀγνοῶν, τὸ δύστηνον ἐκεῖνο δοξάριον προετίμων τοῦ βίου. νῦν δὲ συνίημι ἤδη, ὡς ἐκείνη μὲν ἀνωφελὴς, εἰ καὶ ὅ,τι μάλιστα οἱ ἄνω ῥαψῳδήσουσι, μετὰ νεκρῶν δὲ, ὁμοτιμία. καὶ οὔτε τὸ κάλλος ἐκεῖνο ὦ Αντίλοχε, οὔτε ἡ ἰσχὺς πάρεστιν, ἀλλὰ κείμεθα ἅπαντες ὑπὸ τῷ αὐτῷ ζόφῳ ὅμοιοι, καὶ κατ', οὐδὲν ἀλλήλων διαφέροντες. καὶ οὔτε οἱ τῶν Τρώων νεκροὶ δεδίασί με, οὔτε οἱ τῶν Αχαιῶν θεραπεύουσι. ταῦτά με ἀνιᾷ, καὶ ἄχθομαι, ὅτι μὴ θητεύω ζῶν.

minime generosa, ac Chirone atque Phœnice, quibus tu aliquando usus ex præceptoribus parum digna? Audivi enim malle te agricolæ mutuus obtũdo, inopi, cui nec victus suppetat, locare operã mercede, quã omnibus vitæ functis dominari. Quæ si Phrygum quispiam vilis & ignavus, atq; immodice insuper etiam vitæ affectator diceret ferendum forte id esset. Verum ex Peleo prognatum, & ex omni heroum numero periculorum contemptorem acerrimum, in tam abjectam & humilem de seipso descendere opinionem, fœdum sanè, atque pudendum inprimis, denique iis quæ in vita strenuè gessesis contrarium, qui cum in Phthia regnare ad senectam usq; (citra gloriam tamen) potuisses, gloriosam operere mortem maluisti ACHIL. *At ô Nestoris fili, nondum etiam tum feceram rerum earum periculum, & quid cui præferrem ignorans gloriosam hanc infelicem proponebam vitæ. Atqui jam tandem intelligo quàm inutilis illa sit, licet vivi nos hic earum monumentis studiosissimè celebrent, cum apud manes unus honor sit omnium. Sed neque forma illa, Antiloche, neque vires adsunt, jacemus enim omnes in iisdem tenebris æqualiter, nec ulla re differimus. Adde quod nulli jam ex Trojanorum mortuis formidabilis sum, nemini Græcorum venerandus. Hæc sunt quæ me agunt & miserè sollicitant, & ob quæ doleo, quod non potius loco*

operas

ζῶν. ΑΝΤ. ὅμως τί οὖν ἄν τις πάθοι ὦ Ἀχιλ-λεῦ; ταῦτα γὰρ ἔδοξε τῇ φύσει, πάντ ἀποθνήσκειν ἅπαντας. ὥστε χρὴ ἐμμέν τῷ νόμῳ, καὶ μὴ ἀνιᾶσθαι τοῖς διατεταγμ-νοις. ἄλλως τε, ὁρᾷς τῶν ἑταίρων ὅσοι π σὲ ἐσμὲν οἵδε; μετὰ μικρὸν δὲ καὶ Ὀδυσσ ἀφίξεται πάντως. φέρει δὲ παραμυθία κ ἡ κοινωνία τοῦ πράγματος, καὶ τὸ μὴ μόν αὐτὸν πεπονθέναι. ὁρᾷς τὸν Ἡρακλέα, καὶ Μελέαγρον, καὶ ἄλλους θαυμαστοὺς ἄνδρ οἳ οὐκ ἂν οἶμαι δέξαιντο ἀνελθεῖν, εἴ τις α τοὺς ἀναπέμψειε θητεύσοντας ἀκλήροις κ ἀβίοις ἀνδράσιν. ΑΧΙΛΛ. Ἑταιρικὴ μὲ παραίνεσις. ἐμὲ δὲ οὐκ οἶδ' ὅπως ἡ μνή τῶν παρὰ τὸν βίον ἀνιᾷ, οἶμαι δὲ καὶ ὑμ ἕκαστον, εἰ δὲ μὴ ὁμολογεῖτε, ταύτῃ χ ρους ἐστὲ, καθ' ἡσυχίαν αὐτὸ πάσχοντ ΑΝΤΙΛ. Οὐκ, ἀλλ' ἀμείνους ὦ Ἀχιλλεῦ. τὸ ἀνωφελὲς τοῦ λέγειν ὁρῶμεν. σιωπᾶν γὰρ κ φέρειν, καὶ ἀνέχεσθαι, δέδοκται ἡμῖν, μ καὶ γέλωτα ὄφλωμεν ὥσπερ σὺ τοιαῦτ εὐχόμενοι.

ΜΕΝΙΠΠΟΥ καὶ ΤΑΝΤΑΛΟΥ.

Τί κλαίεις ὦ Τάνταλε: ἢ τί σεαυτ ὀδύρῃ, ἐπὶ τῇ λίμνῃ ἑστώς; ΤΑΝ. Ὅτ ὦ Μένιππε, ἀπόλωλα ὑπὸ τοῦ δίψους. Μ

Οὕτ

operas & vivo. ANTIL. Quid agat quispiam? natura enim statuit omnibus omnino morientum esse. Legem igitur servare, & decretis minime affligi oportet. Praeterea videsne è sociis circa te simus? paulo post & v- adveniet. Unde solatium tibi merito positus rei societas: quod non solus videris mala conjectus. En tibi Herculem, Meleagrum, & alios admirandos viros, qui quidem (ni fallor) haudquaquam in vitam videntur redituri, si quis eos ad inopes & victu indignos mittat, ut illis pro mercede serviant. ACH. Sociorum haec quidem admonitio est, verum haud scio quo pacto eorum quae in vita geruntur, memoria me excruciat. Arbitror autem & vestrum unumquemque ita affici. Si vero non palam confiteamini, hoc inquiores estis, quod taciti hujuscemodi toleratis. ANT. Non equidē Achilles, sed longè tibi praestamus, quippe quod intelligimus quàm sit inutile de iis rebus verba facere: silere enim & aequo animo sustinere omnia concessum est nobis, ne eadem optantes, tecum nos ipsos risui exponamus.

MENIPPI & TANTALI.

QVid ejulas ô Tantale, aut quid tuam deploras fortunam, stagno imminens? TANT. Quoniam siti enecor Menippe. MEN. Usque

οὕτως ἀργὸς εἶ ὡς μὴ ἐπικύψας πιεῖν, ἢ καὶ νὴ Δί' ἀρυσάμενος κοίλῃ τῇ χειρί; Ταν. οὐδὲν ὄφελος εἰ ἐπικύψαιμι. φεύγει γὰρ τὸ ὕδωρ, ἐπειδὰν προσιόντα αἴσθηταί με. ἢν δέ ποτε καὶ ἀρύσωμαι, καὶ προσενέγκω τῷ στόματι, οὐ φθάνω βρέξας ἄκρον τὸ χεῖλος, καὶ διὰ τῶν δακτύλων διαῤῥυὲν, οὐκ οἶδ' ὅπως αὖθις ἀπολείπει ξηρὰν τὴν χεῖρά μου. Μένιπ. τεράστιόν τι πάσχεις ὦ Τάνταλε, ἀτὰρ εἰπέ μοι, τί γὰρ δέῃ τοῦ πιεῖν; οὐ γὰρ σῶμα ἔχεις ἀλλ' ἐκεῖνο μὲν ἐν Λυδίᾳ που τέθαπται, ὅπερ καὶ πεινῆν καὶ διψῆν ἠδύνατο. σὺ δὲ ἡ ψυχὴ, πῶς ἂν ἔτι ἢ διψῴης, ἢ πίνοις. Τα. Τοῦτ' αὐτὸ ἡ κόλασίς ἐστι, τὸ διψῆν μου τὴν ψυχὴν ὡς σῶμα οὖσαν. Μέν. Ἀλλὰ τοῦτο μὲν οὕτω πιστεύσωμεν, ἐπεὶ φῂς τῷ δίψει κολάζεσθαι. τί δ' οὖν σοι τὸ δεινὸν ἔσται; ἢ δέδιας μὴ ἐνδείᾳ τοῦ ποτοῦ ἀποθάνῃς; οὐχ ὁρῶ γὰρ ἄλλον μετὰ τοῦτον ᾅδην, ἢ θάνατον ἐντεῦθεν εἰς ἕτερον τόπον. Τάν. Ὀρθῶς μὲν λέγεις. καὶ τοῦτο δ' οὖν μέρος τῆς καταδίκης, τὸ ἐπιθυμεῖν πιεῖν, μηδὲν δεόμενον. Μέν. Ληρεῖς ὦ Τάνταλε, καὶ ὡς ἀληθῶς ποτοῦ δεῖσθαι δοκεῖς, ἀκράτου γε ἐλλεβόρου νὴ Δία, ὅς τις τοὐναντίον τοῖς ὑπὸ τῶν λυττώντων κυνῶν δεδηγμένοις πέπονθας, οὐ τὸ ὕδωρ, ἀλλὰ τὴν δίψαν πεφοβημένος. Τα. Οὐδὲ

τὸν

usque adeo piger es atque iners, ut non vel pronus incumbens bibere noris, vel cava vola hauriens? TANT. *Nihil profecero si procumbam, refugit enim aqua, simulatque me propius admoveri senserit, quod si quando hausero, orique coner applicare, prius effluxit, quam summa rigem labia. Atque inter digitos effluens aqua, haud scio quomodo rursus manum meam aridam relinquat.* MENIP. *Prodigiosum quiddam de te narras Tantale, verum dic mihi istuc ipsum, quorsum opus sit bibere cum corpore careas, nam illud quod esurire poterat, aut sitire, in Lydia sepultum est. Ceterum tu cum sis animus, quinam post hac aut sitire queas aut bibere?* TANT. *Atque hoc ipsum supplicii genus est, ut anima perinde quasi corpus sit, ita sitiat.* MENIP. *Age, hoc ita habere credamus, quandoquidem affirmas te siti puniri. At quid hinc acerbi poterit accidere? Num metuis ne potus inopia moriare? At equidem haud video alteros inferos, si quis hos relinquat, neque locum alium in quem morte demigret quispiam.* TAN. *Recte tu quidem dicis, verum hoc ipsum supplicii genus est, sitire, cum nihil sit opus.* MENIP. *Desipis Tantale, & ut verum tibi fatear, non alio potu videris egere quam veratro mero, nam diversum quiddam pateris, quos canes rabiosi momorderint ut qui non aquam, quemadmodum illi, sed sitim horreas.* TANT.

τὸν ἐλλέβορον, ὦ Μένιππε, ἀναίνομαι πιεῖν, γένοιτό μοι μόνον. Μέν. Θάῤῥει ὦ Τάνταλε, ὡς οὔτε σὺ, οὔτε ἄλλος πίεται τῶν νεκρῶν ἀδύνατον γάρ. καίτοι οὐ πάντες ὥσπερ σὺ ἐκ καταδίκης διψῶσι, τοῦ ὕδατος αὐτοὺς οὐχ ὑπομένοντος.

ΜΕΝΙΠΠΟΥ καὶ ΑΙΑΚΟΥ.

Πρὸς τοῦ Πλούτωνος ὦ Αἰακὲ, περιήγησαί μοι τὰ ἐν ᾅδου πάντα. Αἰ. Οὐ ῥᾴδιον ὦ Μένιππε ἅπαντα, ὅσα μὴν τοι κεφαλαιώδη μάνθανε. οὗτος μὲν, ὅτι Κέρβερός ἐστιν, οἶσθα, καὶ τὸν πορθμέα τοῦτον, ὅς σε διεπέρασε, καὶ τὴν λίμνην, καὶ τὴν Πυριφλεγέθοντα ἤδη ἑώρακας ἐσιών. Μέν. οἶδα ταῦτα, καὶ σὲ, ὅτι πυλωρεῖς· καὶ τὸν βασιλέα εἶδον, καὶ τὰς Ἐριννῦς τοὺς δ' ἀνθρώπους μοι τοὺς πάλαι δεῖξον, καὶ μάλιστα τοὺς ἐπισήμους αὐτῶν. Αἰ. Οὗτος μὲν Ἀγαμέμνων, οὗτος δ' Ἀχιλλεὺς, οὗτος δὲ Ἰδομενεὺς πλησίον. ἔπειτα Ὀδυσσεὺς, εἶτα Αἴας, καὶ Διομήδης, καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων. Μένιππος. Βαβαὶ Ὅμηρε, οἷά σοι τῶν ῥαψῳδιῶν τὰ κεφάλαια χαμαὶ ἔῤῥιπται, ἄγνωστα, καὶ ἄμορφα, κόνις πάντα, καὶ λῆρος πολὺς, ἀμενηνὰ

veratrum quidem recusarim bibire Me-
pe, si liceat modò. MENIP. Bono sis ani-
Tantale, certum habens nunquam fore, ut
tu, vel reliquorum manium quispiam bi-
. Nec enim fieri potest: qu nquam non
ibus, quemadmodum tibi, pœna adjudicata
ut sitiant, aqua illos non expectante.

MENIPPI &
ÆACI.

ER Plutonem, ô Æace, expone mihi quæ-
, hic quæ apud inferos sunt, omnia. ÆA.
d facile, Menippe, omnia. Verum quæ sum-
im & veluti per capita indicare possunt
accipe Hic quidē, quod Cerberus sit, nosti.
nde & portitorem hunc nosti, qui te trajecit,
erea & lacum, & Pyriphlegetontem jam
sti, cum ingressus es. MEN. Novi hæc, &
erea te quoque, quod hic in vestibulo sedes,
e aditum observas. Etiam regem ipsum
, & Furias. Homines verò priscos, quæso,
nde & maxime eos, qui inter cæteros nobi-
s fuere. Æ. Hic quidem Agamemnon est, ille
m Achilles. Rursum hic Idomeneus, qui pro-
assidet: post hunc Ulysses, deinceps Ajax &
medes, & cæteri Græcorum præstantissimi.
Pape Homere, ut tibi Rapsodiarum tua ū
a, humi projecta jacent, ignobilia atq; ob-
, cinis ac pulvis omnia & nugæ meræ, de-

μενηνὰ ὡς ἀληθῶς κάρηνα. οὗτος δὲ ὦ Αἰ
κέ, τίς ἐστι; Αἰ. Κῦρός ἐστιν, οὗτος δὲ Κροῖσο
ὁ δ' ὑπὲρ αὐτὸν. Σαρδανάπαλος. ὁ
ὑπὲρ τούτους, Μίδας. ἐκεῖνος δὲ Ξέρξη
Μένιπ. Εἶτά σε ὦ κάθαρμα ἡ Ἑλλὰς ἔ
φριττε, ζευγνύντα μὲν τὸν Ἑλλήσποντο
διὰ δὲ τῶν ὀρῶν πλεῖν ἐπιθυμοῦντα; οἷ
δὲ καὶ ὁ Κροῖσός ἐστι; τὸν Σαρδανάπα
δὲ ὦ Αἰακέ, πατάξαι μοι κατὰ κόρρης ἐπίτ
ψον. Αἰα. Μηδαμῶς. καὶ θρύψεις γὰρ α
τὸ κρανίον, γυναικεῖον ὄν. βούλει δέ σοι
δείξω καὶ τοὺς σοφούς; Μέν. Νὴ Δία γε. Α
πρῶτος οὗτός σοι ὁ Πυθαγόρας ἐστι. Μέ
Χαῖρε ὦ Εὔφορβε, ἢ Ἄπολλον, ἢ ὅ, τι ἂν ἐ
λῃς. Πυθ. Νὴ, καὶ σύ γε ὦ Μένιππε. Μέ. Ο
ἔτι χρυσοῦς ὁ μηρός ἐστι σοι; Πυθ. Οὐ γάρ
λὰ φέρε ἴδω, εἴ τι σοι ἐδώδιμον ἡ πήρα
Μ. Κυάμους ὦ ἀγαθὲ ὥστε οὐ τοῦτό σοι ἐδώ
μον. Πυθ. Δὸς μόνον, ἄλλα παρὰ νεκροῖς
γματα. Αἰ. οὗτος δὲ Σόλων ὁ Ἐξηκεστίδο
Θαλῆς ἐκεῖνος. καὶ παρ' αὐτοὺς, Πιττα
καὶ οἱ ἄλλοι. ἑπτὰ δὲ πάντες εἰσὶν, ὡς ὁρ
Μέν. Ἄλυποι οὗτοι ὦ Αἰακὲ μόνοι, καὶ φ
δροὶ τῶν ἄλλων ὁ δὲ σποδοῦ πλέως, ὥσπερ
κρυφίας ἄρτος, ὁ τὰς φλυκταίνας ὅλ
ἐξηνθηκὼς, τίς ἐστιν; Αἰα. Ἐμπεδοκλῆ
Μένιππε, ἡμίεφθος ἀπὸ τῆς Αἴτνης παρ
Με. Ὦ χαλκόπου βέλτιστε, τί παθὼν σαυ

vere, ut abs te dictum est capita insi ma caduca Sed hic, Aeace, quisnam est? ÆA. *us est. Ille autem Crœsus, & juxta ipsum dana palus Ultra hos autem Midas, & dein- illi Xerxes* ME. *Et te, ó scelesta, tota ex- ruit Græcia, jungentem pontibus Hellespon- m & per ipsos montes navibus trajicere affe- ntem? Qualis vero & ipse Crœsus est? Cæ- rum, Sardanapalo, quæso, huic Aeace permitte, demulceam caput, inflicto colapho.* Æ. *Ne- quam. Comminueres enim ipsi calvariam, lubris ac fragilis adeo cum sit. Ceterum visne bi ostendam, & doctos illos?* ME. *Per Iovem am.* Æ. *Primus en hic tibi Pythagoras est.* M. *lve Euphorbe, sive Apollo, sive deniq; quod- nque voles.* PY. *Ita sane, & tu utiq; Menippe.* ME. *Quid? annon amplius aureum istud femur bes?* PY. *Non, sed age cedo, si quid manduca- le tibi habet pera ista.* M. *Fabas habet: quare hil hic est, quod tu manducare queas.* PY. *Da odo. Nam hic apud manes alia dogmata atq; stituta.* Æ. *Porro hic Solon est, filius Exece- idis: preterea ille Thales, & juxta ipsos Pit- cus, & cæteri illi, septem autem omnes sunt, ut des.* MEN. *Læti hi sunt Aeace, soli atq; ala- es præter cæteros. Sed hic oppletus cinere, tam- uam subcinericius panis aliquis, hic crebris ustulis scatens, quisnam est?* ÆA. *Empedo- les, Menippe, semicoctus ab Aetna monte huc rofectus.* MEN. *O æripes optime, quid, obse-*

 cro,

ἐς τοὺς κρατῆρας ἐνέβαλες; Εμ. Μελαγχολία τις ὦ Μένιππε. Μ. Οὐ μὰ Δία, ἀλλὰ κενοδοξία, καὶ τῦφος, καὶ πολλὴ κόρυζα ταῦτά σε ἀπηνθράκωσεν αὐταῖς κρηπῖσιν οὐκ ἄξιον ὄντα, πλὴν ἀλλ' οὐδέν σε τὸ σόφισμα ὤνησεν. ἐφωράθης γὰρ τεθνεώς. ὁ Σωκράτης δὲ ὦ Αἰακέ, ποῦ ποτε ἄρα ἐστί; Αἰ. Μετὰ Νέστορος, καὶ Παλαμήδους ἐκεῖνος ληρεῖ τὰ πολλά. Μέ. Ὅμως ἐβουλόμην ἰδεῖν αὐτόν, εἴ που ἐνθάδε ἐστίν. Αἰ. Ὁρᾷς τὸν φαλακρόν; Μέ. Ἅπαντες φαλακροί εἰσιν. ὥστε πάντων ἂν εἴη τοῦτο γνώρισμα. Αἰα. Τὸν σιμὸν λέγω. Μένιπ. Καὶ τοῦθ' ὅμοιον σιμοὶ γὰρ ἅπαντες. Σω. Ἐμὲ ζητεῖς ὦ Μένιππε; Μέν. Καὶ μάλα ὦ Σώκρατες. Σωκ. Τί τὰ ἐν Ἀθήναις; Μέν. Πολλοὶ τῶν νέων φιλοσοφεῖν λέγουσι. καὶ τά γε σχήματα αὐτὰ καὶ τὰ βαδίσματα εἰ θεάσαιτό τις, ἄκροι φιλόσοφοι μάλα πολλοί, τὰ δ' ἄλλα ἑώρακας οἶμαι, οἷος ἧκε παρὰ σοὶ Ἀρίστιππος, καὶ Πλάτων αὐτός ὁ μὲν ἀποπνέων μύρου, ὁ δὲ τοὺς ἐν Σικελίᾳ τυράννους θεραπεύειν ἐκμαθών. Σωκ. περὶ ἐμοῦ δὲ τί φρονοῦσιν. Μέν. εὐδαίμων ὦ Σώκρατες ἄνθρωπος εἶ, τά γε τοιαῦτα. πάντες οὖν σε θαυμάσιον οἴονται ἄνδρα γεγενῆσθαι, καὶ πάντα ἐγνωκέναι ταῦτα. δεῖ γὰρ οἶμαι τἀληθὲς λέγειν οὐδὲν εἰδότα. Σωκ. καὶ αὐτὸς

ἔφασκον

go, acciderat tibi, cur te ipsum in foramina Ætnæ injiceres? Em. Insania quædam, Menippe. Men. Non per Iovem, sed inanis quædam gloriæ affectatio, & fastus, & multa superbia. Hæc te conflagrare fecerunt, unà cum ipsis crepidis, cum dignus minimè esses. Veruntamen nihil tibi commentum istud profuit, deprehensus enim es & ipse mortuus. Cæterum Socrates ille, Aeace, ubi locorum tandem est? Æa Cum Nestore ac Palamede ille plerumq; nugatur. Me. Cuperem tamen videre ipsum, sicubi locorum hic foret. Æa. Videsne calvum illum? Me. At omnes hic calvi sunt, quare omnium æquè notatio hæc fuerit. Æ. Simum istum dico. Me Etiam hoc simile omnium est. Nam & simi omnes sunt. Socr. Mene quæris Menippe? Men. Teipsum. Soc. Quo pacto res Athenis se habent? Men. Multi juniorum Philosophari se profitentur. Ac habitum certe ipsum, & incessum si quis aspiciat summi Philosophi sunt, iidemque permulti. Cęterum autem vidisti, opinor, qualis & Aristippus huc ad te venerit, & Plato ipse, alter quidem olens unguenta, alter autem in Sicilia tyrannis adulari doctus. Soc. At de me quid sentiunt? Me Beatus Socrates, quispiam es, quod ad hujusmodi res utique pertinet. Omnes itaque te admirabilem fuisse virum existimant, atque omnia cognovisse hæc (decet enim opinor, verum hic dicere) cum nihil scires. Soc. Et ipse dicebam

ἔφασκον ταῦτα πρὸς αὐτούς. οἱ δὲ, εἰρωνείαν ᾤοντο τὸ πρᾶγμα εἶναι. Μέν. Τίνες δὲ οὗτοί εἰσιν οἱ περὶ σέ; Σωκ. Χαρμίδης ὦ Μένιππε, καὶ Φαῖδρος, καὶ ὁ τοῦ Κλεινίου. Μέν. Εὖγε ὦ Σώκρατες, ὅτι κἀνταῦθα μέτει τὴν σαυτοῦ τέχνην. Σωκ. Τί γὰρ ἂν ἄλλο ἥδιον πράττοιμι; ἀλλὰ πλησίον ἡμῶν κατάκεισο, εἰ δοκεῖ. Μέν. Οὐ μὰ Δί' ἐπὶ τὸν Κροῖσον γὰρ καὶ Σαρδανάπαλον ἄπειμι, πλησίον οἰκήσων αὐτῶν. ἔοικα γοῦν οὐκ ὀλίγα γελάσεσθαι, οἰμωζόντων ἀκούων. Αἰα. Κἀγὼ ἤδη ἄπειμι, μή καί τις ἡμᾶς νεκρῶν λάθῃ διαφυγών. τὰ πολλὰ δ' ἐσαῦθις ὄψει ὦ Μένιππε. Μένιπ. Ἄπιθι, καὶ ταυτί γὰρ ἱκανά ὦ Αἰακέ.

ΜΕΝΙΠΠΟΥ καὶ ΚΕΡΒΕΡΟΥ.

Ο Κέρβερε, συγγενὴς γάρ εἰμί σοι, κύων καὶ αὐτὸς ὤν, εἰπέ μοι πρὸς τῆς Στυγὸς, οἷος ἦν ὁ Σωκράτης ὁπότε κατῄει πρὸς ὑμᾶς. εἰκὸς δέ σε θεὸν ὄντα, μὴ ὑλακτεῖν μόνον, ἀλλὰ καὶ ἀνθρωπικῶς φθέγγεσθαι, ὁπότ' ἐθέλοις. Κερ. Πόῤῥωθεν μὲν ὦ Μένιπ-

hæc ad illos, sed illi tum simulationem quandam, eam rem esse putabant. MEN. Sed quinam isti sunt circa te? SOC. Charmides, Menippe, & Phædrus & Cliniæ filius ille. MEN. Euge Socrates, quoniam & hic artem tuam exerces. SOC. Quid enim aliud quod quidem suavius sit, agerem? Sed huc propius nobiscum recumbe, si videtur. MEN. Non per Iovem. Ad Crœsum enim & Sardanapalum redeo, prope illos habitaturus. Videor quippe mihi, non pauca habiturus ibi esse, quæ rideam, quando plorantes illos audiam. ÆAC. Et ego quoque jam abeo, ne quis mortuorum clam nobis subducat sese. Pleraque autem alia videbis Menippe, quando iterum conveniemus. MEN. Abeas licet, nam & hæc Aeace, vidisse sufficit.

MENIPPI & CERBERI.

Heus Cerbere, quandoquidem mihi tecum cognatio quædam intercedit, cum & ipse sim canis, dic mihi per Stygiam paludem, quomodo se habebat Socrates, cum huc accederet? Verisimile est autem te, Deus cum sis, non latrare modò, verum etiam humani more loqui, quando velis. CER. Cum procul adhuc adesset Menippus, visus est constanti atque imperterrito

πε, παντάπασιν ἐδόκει ἀτρέπτῳ προσώπῳ προσιέναι, καὶ οὐ πάνυ δεδιέναι τὸν θάνατον δοκεῖν. τοῦτ' ἐμφῆναι τοῖς ἔξω τοῦ στομίου ἑστῶσιν ἐθέλων. ἐπεὶ δὲ κατέκυψεν εἴσω τοῦ χάσματος, καὶ εἶδε τὸν ζόφον, κἀγὼ ἔτι διαμέλλοντα αὐτὸν δακὼν τῷ κωνείῳ, κατέσπασα τοῦ ποδός, ὥσπερ τὰ βρέφη ἐκώκυε, καὶ τὰ ἑαυτοῦ παιδία ὠδύρετο, καὶ παντοῖος ἐγίνετο. Μέν. οὐκοῦν σοφιστὴς ὁ ἄνθρωπος ἦν, καὶ οὐκ ἀληθῶς κατεφρόνει τοῦ πράγματος; Κέρβερ. Οὔκ, ἀλλ' ἐπείπερ ἀναγκαῖον αὐτὸ ἑώρα, κατεθρασύνετο, ὡς δῆθεν οὐχ ἄκων πεισόμενος, ὃ πάντως ἔδει παθεῖν, ὡς θαυμάσωνται οἱ θεαταί. καὶ ὅλως, περὶ πάντων γε τῶν τοιούτων εἰπεῖν ἂν ἔχοιμι, ἕως τοῦ στομίου τολμηροὶ, καὶ ἀνδρεῖοι, τὰ δ' ἔνδοθεν, ἔλεγχος ἀκριβής. Μένιπ. Ἐγὼ δὲ πῶς τοι κατεληλυθέναι ἔδοξα. Κέρβερ. Μόνος ὦ Μένιππε ἀξίως τοῦ γένους, καὶ Διογένης πρὸ σοῦ, ὅτι μὴ ἀναγκαζόμενοι εἰσήειτε, μηδ' ὠθούμενοι, ἀλλ' ἐθελούσιοι γελῶντες, οἰμώζειν παραγγείλαντες ἅπασιν.

adire vultu, perinde quasi mortem nihil omnino formidaret, tanquam hoc ipsum vellet iis, qui procul à specus ingressu stabant, ostendere verum simulatque dispexit inbiatum, viditque profundum atque atrum antri recessum, simulq; ego cunctantem etiam illum cicuta mordens, pede correptum detraherem, infantium ritu ejulabat, suosque deplorabat liberos nihilq; non faciebat in omnem speciem sese convertens. ME. Num igitur fucate sapiens erat ille, neque vere mortē contemnebat? CE. Haud verè, cæterum ubi vidit id esse necesse audaciam quandam pre se ferebat, quasi verò volens id esset passurus, quod alioqui volenti nolenti tamen omnino fuerat ferendum, videlicet, quo spectatoribus esset miraculo. Equidem illud in totum de viris istiusmodi vere possim dicere, ad fauces usque specus intrepidi sunt ac fortes porro intus cum sunt, nihil mollius, neque fractius. MEN. Cæterum ego quonam animo tibi visus sum subiisse specum? CERB. Vnus mortalium Menippe, sic mihi visus es subire, ut tuo dignum erat genere, & prior te Diogenes, propterea quod nunquam adacti subieritis, aut intrusi, verum cum ultronei, tum ridentes, atque omnibus plorare renunciantes.

CHARONTIS

ΧΑΡΩΝΟΣ καὶ ΜΕΝΙΠΠΟΥ.

Χάρων.

Ἀπόδος ὦ κατάρατε τὰ πορθμεῖα. Μέν. Βόα, εἰ τοῦτό σοι ἥδιον ὦ Χάρων. Χάρ. Ἀπόδος φημὶ ἀνθ' ὧν σε διεπορθμεύσαμεν. Μέν. οὐκ ἂν λάβοις παρὰ τοῦ μὴ ἔχοντος. Χά. Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων; Μέν. Εἰ μὲν καὶ ἄλλος τις, οὐκ οἶδα. ἐγὼ δ' οὖν οὐκ ἔχω. Χάρ. Καὶ μὴν ἄγξω σε, νὴ τὸν Πλούτωνα, ὦ μιαρὲ, ἢν μὴ ἀποδῷς. Μέν. Κἀγὼ τῷ ξύλῳ σου πατάξας διαλύσω τὸ κρανίον. Χάρ. Μάτην οὖν ἔσῃ πεπλευκὼς τοσοῦτον πλοῦν. Μέν. Ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ σοι ἀποδότω, ὅς με παρέδωκέ σοι. Ε. Νὴ Δία ὀναίμην, εἰ μέλλω γε καὶ ὑπερεκτίνειν τῶν νεκρῶν. Χάρ. Οὐκ ἀποστήσομαί σου. Μένιπ. Τούτου γε ἕνεκα νεωλκήσας τὸ πορθμεῖον, παράμενε. πλὴν ἀλλ' ὅ, γε μὴ ἔχω, πῶς ἂν λάβοις; Χάρων. Σὺ δ' οὐκ ᾔδεις ὡς κομίζειν δέον; Μένιπ. ᾔδειν μὲν, οὐκ εἶχον δέ· τί οὖν, ἐχρῆν διὰ τοῦτο μὴ ἀποθανεῖν; Χάρων Μόνος οὖν αὐχήσεις προῖκα πεπλευκέναι; Μένιπ. Οὐ προῖκα ὦ βέλτιστε. καὶ γὰρ ἤντλησα, καὶ τῆς

CHARONTIS & MENIPPI.

CHARON.

Redde naulum scelesté. MEN. *Vociferare, si quidem istuc tibi voluptati est Charon.* CHAR. *Redde, inquam, quod pro trajectione debes.* MENIPP. *Haudquaquam auferre queas ab eo qui non habeat.* CHAR. *An est quispiam, qui ne obolum quidem habeat ?* MEN. *Sitne alius quispiam præterea, equidem ignoro, ipse certe non habeo.* CHAR. *Atqui præfocabo te per Ditem impurissime, ni reddas.* MEN. *At ego illiso baculo tibi comminuam caput.* CHAR. *Num ego te tam longo trajectu gratis transvexero ?* MEN. *Mercurius meo nomine tibi reddat, ut qui me tibi tradiderit.* MERC. *Belle mecum agatur per Iovem, siquidem futurum est, ut etiam defunctorum nomine persolvam.* CH. *Haud omittam te.* MEN. *Quin igitur vel hujus gratia perge, ut facis, navim trahere, quanquam quod non habeo quinam auferas?* CH. *At tu nesciebas, quid tibi fuerit adportandum ?* MEN. *Sciebam quidem, verum non erat. Quid igitur? num ea gratia erat mihi semper in vita manendum ?* CH. *Solus ergo gloriaberis te gratis fuisse transvectum ?* MEN. *Haud gratis ô præclare, siquidem & sentinam exhausi,*

κώπης ἐπελαβόμην, καὶ οὐκ ἔκλαιον μόνος τῶν ἄλλων ἐπιβατῶν. Χάρ. Οὐδὲν ταῦτα πρὸς τὰ πορθμία. τὸν ὀβολὸν ἀποδοῦναί σε δεῖ. οὐ γὰρ θέμις ἄλλως γενέσθαι. Μέν. Οὐκοῦν ἀπάγαγέ με αὖθις ἐς τὸν βίον. Χάρ. Χαρίεν λέγεις, ἵνα καὶ πληγὰς ἐπὶ τούτῳ παρὰ τοῦ Αἰακοῦ προσλάβω. Μέν. Μὴ ἐνόχλει οὖν. Χ. Δεῖξον τί ἐν τῇ πήρᾳ ἔχεις. Μέν. Θέρμους εἰ θέλεις, καὶ τῆς Ἑκάτης τὸ δεῖπνον. Χάρ. πόθεν τοῦτον ἡμῖν ὦ Ἑρμῆ τὸν κύνα ἤγαγες; οἷα δὲ καὶ ἐλάλει παρὰ τὸν πλοῦν, τῶν ἐπιβατῶν ἁπάντων καταγελῶν, καὶ ἐπισκώπτων, καὶ μόνος ᾄδων, οἰμωζόντων ἐκείνων. Ἑρ. Ἀγνοεῖς ὦ Χάρων, ὁποῖον ἄνδρα διεπόρθμευσας; ἐλεύθερον ἀκριβῶς, κοὐδενὸς αὐτῷ μέλει. οὗτός ἐστιν ὁ Μένιππος. Χάρ. Καὶ μὴν ἄν σε λάβω ποτέ; Μένιπ. Ἂν λάβῃς ὦ βέλτιστε, δὶς οὐκ ἂν λάβοις.

ΔΙΟΓΕΝΟΥΣ καὶ ΜΑΥΣΩΛΟΥ.

Ω Κὰρ ἐπὶ τίνι μέγα φρονεῖς, καὶ πάντων ἡμῶν προτιμᾶσθαι αὐξιοῖς; Μα. Καὶ ἐπὶ τῇ βασιλείᾳ μὲν ὦ σινωπεῦ, ὃς ἐβασίλευσα Καρίας μὲν ἁπάσης, ἦρξα δὲ καὶ Λυδῶν ἐνίων, καὶ νήσους δέ τινας ὑπηγαγόμην, καὶ ἄχρι Μιλήτου ἐπέβην τὰ πολλὰ τῆς Ἰωνίας καταστρεφόμενος. καὶ καλὸς ἦν, καὶ

μέγας,

exhausi, & remum arripui, & vectorum omnium unus non ejulavi. CHAR. Ista nihil ad naulum, obolum reddas oportet, neque enim fas est secus fieri. MEN. Proinde tu me rursum in vitam reveche. CHAR. Bellè dicis, nimirum ut verbera etiam ab Aeaco mihi lucrifaciam. MEN. Ergo molestus ne sis. CHAR. Ostende quid habeas in pera. MEN. Lupinum si velis, & Hecatæ cœnam. CHAR. Unde nobis hunc canem adduxisti Mercuri? tum qualia garriebat inter navigandum vectores omnes irridens, ac dicteriis incessens, unusque cantillans, illis plorantibus. MEN. An ignoras Charon quem virum transvexeris? planè liberum, cuique nihil omnino curæ sit. Hic est Menippus. CHAR. Atqui si unquam posthac te recipero. MEN. Si receperis, ô præclare, ne possis quidem iterum recipere.

DIOGENIS & MAVSOLI.

OHE tu Car, quare tam insolens es, tibique places, ac dignum te credis qui unus nobis omnibus anteponare? MAUS. Primum regni nomine, ô tu Sinopensis, quippe qui Cariæ imperaverim universæ, præterea Lidiæ quoq; gentibus aliquot, tum autem & insulas nonnullas subegerim, Miletum usque pervenerim, plerisq; Ioniæ partibus vastatis. Ad hæc formosus eram

μέγας, καὶ ἐν πολέμοις καρτερός. τὸ δὲ μέγιστον, ὅτι ἐν Ἁλικαρνασσῷ μνῆμα παμμέγεθες ἔχω ἐπικείμενον, ἡλίκον οὐκ ἄλλος νεκρός, ἀλλ᾽ οὐδὲ οὕτως ἐς κάλλος ἐξησκημένον, ἵππων καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατον εἰκασμένων λίθου τοῦ καλλίστου, οἷα οὐδὲ τιμήν τις ἂν ῥᾳδίως, οὐ δοκῶ σοι δικαίως ἐπὶ τούτοις μέγα φρονεῖν; Διογένης. ἐπὶ τῇ βασιλείᾳ φῂς, καὶ τῷ κάλλει καὶ τῷ βάρει τοῦ τάφου; Μαυσ. Νὴ Δί᾽ ἐπὶ τούτοις. Διογ. Ἀλλ᾽ ὦ καλὲ Μαύσωλε, οὔτε ἡ ἰσχὺς ἔτι σοι ἐκείνη, οὔτε ἡ μορφὴ πάρεστιν. εἰ γοῦν τινα ἑλοίμεθα δικαστὴν εὐμορφίας πέρι, οὐκ ἔχοι εἰπεῖν τίνος ἕνεκα τὸ σὸν κρανίον προτιμηθείη ἂν τοῦ ἐμοῦ. φαλακρὰ γὰρ ἄμφω, καὶ γυμνὰ, καὶ τοὺς ὀδόντας ὁμοίως προφαίνομεν, καὶ τοὺς ὀφθαλμοὺς ἀφῃρήμεθα, καὶ τὰς ῥῖνας ἀποσεσιμώμεθα, ὁ δὲ τάφος, καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι. Ἁλικαρνασσεῦσι μὲν ἴσως εἶεν ἐπιδείκνυσθαι, καὶ φιλοτιμεῖσθαι πρὸς τοὺς ξένους, ὡς δή τι μέγα οἰκοδόμημα αὐτοῖς ἐστι. σὺ δὲ ὦ βέλτιστε, οὐχ ὁρῶ ὅ, τι ἀπολαύεις αὐτοῦ, πλὴν εἰ μὴ τοῦτο φῂς ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖς ὑπὸ τηλικούτοις λίθοις πιεζόμενος. Μαυ. ἀνόητα οὖν μοι ἐκεῖνα

ac procerus, ac bellicis in rebus prævalidus. Postremò, quod est omnium maximum, in Halicarnasso monumentum erectum habeo, singulari magnitudine, quantum videlicet defunctorum alius nemo possidet, neque pari etiam pulchritudine conditum, viris scilicet atque equis pulcherrimo è saxo, ad vivam formam absolutissimo artificio expressis, adeo ut vel phanum aliquod simile haud facile quis inveniat. Nam injuria tibi videor has ob res mihi placere atque efferri? DIO. Num ob imperium ais, ob formam, atque ob sepulchri molem? MAU. Per Iovem ob hæc inquam. DIO. Atqui ô formose Mausole, neque vires jam illæ, neque forma tibi jam adest, adeo ut si quem arbitrum de formæ præcellentia delegerimus, haudquaquam dicere potis sit, quamobrem tua calvaria meæ sit anteferenda siquidem utraque pariter tum calva, tum nuda, utrique dentes pariter ostendimus, pariter oculis orbati sumus, pariter naribus simis ac sursum biantibus deformati. Cæterum sepulchrum ac saxa illa preciosa, Halicarnasseis fortasse jactare licebit, & hospitibus gloriæ causa ostentare, tanquam qui magnificam quandam apud se structuram habeant, verum quid hinc commoditatis ad te redeat, vir egregie, nequaquam video, nisi forsan illud cõmodum vocas, quod plus oneris, atque nos sustines, sub tam ingentibus saxis pressus ac laborans. MA. Itane nihil illa mihi conducunt omnia, planeque

να πάντα, καὶ ἰσότιμος ἔσται Μαύσωλος, καὶ Διογένης; Δι. Οὐκ ἰσότιμος ὦ γενναιότατε, οὐ γάρ. Μαύσωλος μὲν γὰρ οἰμώξεται, μεμνημένος τῶν ὑπὲρ γῆς, ἐν οἷς εὐδαιμονεῖν ᾤετο. Διογένης δὲ καταγελάσεται αὐτοῦ, καὶ τάφον ὁ μὲν ἐν Ἁλικαρνασσῷ ἐρεῖ ἑαυτοῦ ὑπὸ Ἀρτεμισίας τῆς γυναικὸς, καὶ ἀδελφῆς κατεσκευασμένον. ὁ Διογένης δὲ, τοῦ μὲν σώματος εἰ καί τινα τάφον ἔχει, οὐκ οἶδεν. οὐδὲ γὰρ ἔμελεν αὐτῷ τούτο. λόγον δὲ τοῖς ἀρίστοις περὶ αὐτοῦ καταλέλοιπεν, ἀνδρὸς βίον βεβιωκὼς ὑψηλότερον ὦ Καρῶν ἀνδραποδέστατε τοῦ σοῦ μνήματος. καὶ ἐν βεβαιοτέρῳ χωρίῳ κατεσκευασμένον.

ΝΙΡΕΩΣ, ΘΕΡΣΙΤΟΥ καὶ ΜΕΝΙΠΠΟΥ.

Νιρεύς.

Ἰδοὺ δὴ Μένιππος οὑτοσὶ δικάσει, πότερος εὐμορφότερός ἐστιν εἰπὲ ὦ Μένιππε, οὐ καλλίων σοι δοκῶ; Μέν. Τίνες δὲ καὶ ἐστὲ, πρότερον οἶμαι. χρὴ γὰρ τοῦτο εἰδέναι. Νιρ. Νιρεὺς καὶ Θερσίτης. Μέ. Πότερος οὖν ὁ Νιρεύς, καὶ πότερος οὖν ὁ Θερσίτης, ; οὐδέπω γὰρ τοῦτο δῆλον. Θερσίτης, ἓν μὲν ἤδη τοῦτ᾽ ἔχω, ὅτι ὅμοιός εἰμί σοι, καὶ οὐδὲν τηλικοῦτον διαφέρεις, ἡλίκον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς ἐπῄνεσεν,

neque pares, erunt Mausolus ac Diogenes? DIO. Imo haud pares, inquam, vir clarissime, nam Mausolus discruciabitur, quoties earum rerum in mentem veniet, quibus in vita florere consuevit, ac Diogenes interim eum ridebit. Atque ille quidem de suo illo monumento, quod est in Halicarnasso, memorabit, ab uxore Artemisia atque sorore parato, contra Diogenes, ne id quidem suo de corpore novit, nunquid habeat sepulchrum. Neque enim illi res ea curæ est, verum apud viros excellentissimos sui memoriam famamque reliquit, ut qui vitam peregerit viro dignum, tuo monumento, Carum abjectissime, celsiorem, ac tutiore in loco substructam.

NIREI, THERSITÆ & MENIPPI.

NIREUS.

ECce denique vel Menippus hic judex erit, uter nostrum sit formosior. Dic Menippe, an non tibi videor forma præstantior? M. Imo quinam sitis, prius arbitror indicandũ nam hoc opinor, scitu est opus. NIR. Nireus ac Thersites. MEN. Uter Nireus, uter Thersites? nondũ enim vel hoc satis liquet. TH. Iam unum hoc vinco, quod tibi sum similis, neque tantoperè me præcellis, quantoperè te cæcus ille Homerus extulit,

ἐπῄνεσεν, ἁπάντων εὐμορφότατον προσειπών. ἀλλ᾽ ὁ φοξὸς ἐγὼ, καὶ ψεδνὸς, οὐδὲν χείρων ἐφάνην τῷ δικαστῇ. ὅρα δέ σοι ὦ Μένιππε, ὅν τινα καὶ εὐμορφότερον ἡγῇ. Νιρ. Ἐμέ γε τὸν Ἀγλαΐας καὶ Χάροπος, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθον. Μέν. Ἀλλ᾽ οὐχὶ καὶ ὑπὸ γῆν, ὡς οἶμαι, κάλλιστος ἦλθες, ἀλλὰ τὰ μὲν ὀστᾶ ὅμοια, τὸ δὲ κρανίον, ταύτῃ μόνον ἂν διακρίνοιτο ἀπὸ τοῦ Θερσίτου κρανίου, ὅτι εὔθρυπτον τὸ σόν. ἀλαπαδνὸν γὰρ αὐτὸ, καὶ οὐκ ἀνδρῶδες ἔχεις. Νιρ. Καὶ μὴν ἐροῦ Ὅμηρον ὁποῖος ἦν ὁπότε συνεστράτευον τοῖς Ἀχαιοῖς. Μέν. Ὀνείρατά μοι λέγεις. ἐγὼ δὲ ἃ βλέπω, καὶ νῦν ἔχεις, ἐκεῖνα δὲ οἱ τότε ἴσασιν. Νιρ. Οὐκοῦν ἐγὼ ἐνταῦθα εὐμορφότερός εἰμι ὦ Μένιππε; Μέν. Οὔτε σὺ οὔτε ἄλλος εὔμορφος, ἰσοτιμία γὰρ ἐν ᾅδου, καὶ ὅμοιοι ἅπαντες. Θερ. Ἐμοὶ μὲν τοῦτο ἱκανόν.

ΜΕΝΙΠΠΟΥ καὶ ΧΕΙΡΩΝΟΣ.

Ἤκουσα ὦ Χείρων, ὡς Θεὸς ὢν ἐπιθυμήσειας ἀποθανεῖν. Χείρων. Ἀληθῆ

ταῦτ᾽

unum omnium formosissimum appellans, quin ego fastigiato vertice, rarisq; capillis, nihilo te inferior visus sum arbitro. Iam vero tempus est, uti pronuncies Menippe, utrum altero formosiorem æstimes. NIR. Mirum ni Aglaia Charopæque prognatum, qui vir pulcherrimus unus omnibus è Graiis Priameia ad Pergama veni. MEN. Atqui non item sub terram opinor, pulcherrimus venisti, quippe qui reliquis quidem oßibus aliis appareas assimilis, porro calvaria hoc uno insigni à Thersitæ calvaria dignosci possit, quod tua delicata est ac mollicula, quandoquidem istuc habes effœminatum ac neutiquam viro decorum. NIR. Attamen Homerum percontare, qua specie tum fuerim, cum inter Græcorum copias militarem. ME. Tu quidem somnia mihi narras, at ego ea spectio, qua video, quæque tibi adsunt in præsentia, cęterum ista norunt, qui id temporis vivebant. NIR. Quid igitur tandem? annon ego formosior Menippe? MEN. Neq; tu neq; quisquam alius formosus hoc loco, siquidem apud inferos æqualitas est, paresque sunt omnes. THER. Mihi quidem vel hoc sat est.

MENIPPI & CHIRONIS.

EQuidem inaudivi Chiron, te Deus cum esses tamen optasse mortem. CHI. Vera ista audisti

ταῦτ᾽ ἤκουσας ὦ Μένιππε. καὶ τέθνηκα, ὡς ὁρᾷς, ἀθάνατος εἶναι δυνάμενος. Μένιπ. Τίς δέ σε ἔρως τοῦ θανάτου ἔσχεν ἀνεράστου τοῖς πολλοῖς χρήματος; Χείρων. Ἐρῶ πρὸς σὲ οὐκ ἀσύνετον ὄντα. οὐκ ἦν ἔτι ἡδὺ ἀπολαύειν τῆς ἀθανασίας. Μένιπ. Οὐχ ἡδὺ ἦν, ζῶντα ὁρᾶν τὸ φῶς; Χείρ. Οὐκ ὦ Μένιππε, τὸ γὰρ ἡδὺ ἔγωγε ποικίλον τι καὶ οὐκ ἁπλοῦν ἡγούμην εἶναι. ἐγὼ δὲ ζῶν ἀεὶ, καὶ ἀπολαύων τῶν ὁμοίων, ἡλίου, φωτὸς, τροφῆς, αἱ ὧραι δὲ αἱ αὐταὶ, καὶ τὰ γιγνόμενα ἅπαντα ἑξῆς ἕκαστον, ὥσπερ ἀκολουθοῦντα θάτερον θατέρῳ, ἐνεπλήσθην γοῦν αὐτῶν. οὐ γὰρ ἐν τῷ αὐτῷ ἀεὶ, ἀλλὰ καὶ ἐν τῷ μετασχεῖν ὅλως, τὸ τερπνὸν ἦν. Μένιπ. Εὖ λέγεις ὦ Χείρων. τὰ ἐν ᾅδου δὲ πῶς φέρεις, ἀφ᾽ οὗ προελόμενος αὐτὰ ἥκεις; Χείρων. Οὐκ ἀηδῶς ὦ Μένιππε· ἡ γὰρ ἰσοτιμία, πάνυ δημοτικὸν, καὶ τὸ πρᾶγμα οὐδὲν ἔχει τὸ διάφορον ἐν φωτὶ εἶναι, ἢ ἐν σκότῳ. ἄλλως τε, οὐδὲ διψῆν ὥσπερ ἄνω, οὔτε πεινῆν δεῖ, ἀλλ᾽ ἀνεπιδεεῖς τούτων ἁπάντων ἐσμέν. Μένιπ. ὅρα ὦ Χείρων, μὴ περιπίπτῃς σεαυτῷ, καὶ ἐς τὸ αὐτό σοι ὁ λόγος περιστῇ. Χείρ. Πῶς τοῦτο φής; Μένιπ. ὅτι εἰ τῶν ἐν τῷ βίῳ τὸ ὅμοιον ἀεὶ καὶ ταὐτὸν

ἐγένετο

udisti ô Menippe, planeque mortuus sum sicuti vides, cum mihi licuerit immortalem esse. ME. At quænam te mortis cupido tenebat, rei videlicet quam vulgus hominũ horreat? CH. Dicam apud te, virum neutiquam stultum atque imperitum. Iam mihi desierat esse jucundum immortalitate frui M. Quid? an injucundũ erat te vivere, lucemque tueri? CH. Erat inquam Menippe, nam quod jucundum vocant, id ego neutiquam simplex, sed variũ quiddam esse arbitror. Verum cum ego semper vivere͂, atq; iisdem perpetuò rebus uterer, sole, luce, cibo, tum horæ eædem recurrerent, reliqua item omnia, quæcunq; contingunt in vita, reciproce quodam orbe redirent; atque aliis alia per vices succederent, satietas videlicet eorum me cepit. Neque enim in eo voluptas est sita, si perpetuo fruaris iisdem, sed omnino in permutando posita est. ME. Probè loqueris Chiron. Cæterum hæc quæ apud inferos agitur vita, quinam tibi procedit, postea quã ad hanc tanquam ad potiorem te contulisti? CH. Haud insuaviter Menippe, siquidem æqualitas ipsa quiddam habet admodum populare. Nihil autem interest, utrum in luce quis agat, an in tenebris. Præterea neque sitiendum est nobis quemadmodum apud superos, neq; esuriendum, sed ejusmodi rerum omnium egentia caremus. MEN. Vide Chiron ne temetipse involvas, neve eodem tibi recidat oratio. CH. Quamobrem istuc ais? MEN. Nempe si illud

tibi

ἐγένετό σοι περισκορὲς, καὶ ἐνταῦθα ὅμοια ὄντα, περισκορῆ ὁμοίως ἂν γένοιτο, καὶ δεήσει μεταβολήν γε ζητεῖν τινα, καὶ ἐντεῦθεν ἐς ἄλλον βίον, ὅπερ οἶμαι ἀδύνατον. Χ. Τί οὖν ἂν πάθοι τις ὦ Μένιππε; Μέν. Ὅπερ, οἶμαι, καί φασι, συνετὸν ὄντα, ἀρέσκεσθαι καὶ ἀγαπᾶν τοῖς παροῦσι, καὶ μηδὲν αὐτῶν ἀφόρητον οἴεσθαι.

ΔΙΟΓΕΝΟΥΣ, ΑΝΤΙΣΘΕΝΟΥΣ καὶ ΚΡΑΤΗΤΟΣ.

Ἀντίσθενες καὶ Κράτης, σχολὴν ἄγομεν, ὥστε τί οὐκ ἄπιμεν εὐθὺ τῆς καθόδου περιπατήσοντες, ὀψόμενοι τοὺς κατιόντας οἷοί τινές εἰσι, καὶ τί ἕκαστος αὐτῶν ποιεῖ; Αντ. Ἀπίωμεν ὦ Διόγενες. καὶ γὰρ ἂν τὸ θέαμα ἡδὺ γένοιτο, τοὺς μὲν δακρύοντας αὐτῶν ὁρᾶν, τοὺς δὲ ἱκετεύοντας ἀφεθῆναι. ἐνίους δὲ μόλις κατιόντας, καὶ ἐπὶ τράχηλον ὠθοῦντος τοῦ Ἑρμοῦ, ὅμως ἀντιβαίνοντας, καὶ ὑπτίους ἀντερειδόντας, οὐδὲν δέον. Κράτ. Ἐγὼ γοῦν καὶ διηγήσομαι ὑμῖν ἃ

εἶδον

bi fastidio fuit, quod in vita semper iisdem
milibusque rebus utendum erat, cum hic itidem
milia sint omnia, eundem ad modum parient
stidium. At de integro tibi querenda erit vi-
commutatio, atque hinc quopiam aliam in vi-
m demigrandum, id quod arbitror fieri non
sse. CH. Quid igitur faciendum Menippe?
EN. Illud nimirum, ut sapiens cum sis, quem-
dmodum opinor, & vulgo prædicant, præsen-
bus rebus sis contentus, bonique consulas quod
dest, neque quicquam in his esse putes, quod
rri non queat.

DIOGENIS, ANTISTHENIS, & CRATETIS.

OTium nunc agimus, Antisthenes & tu
Crates: quare, cur non obsecro imus de-
mbulatum, rectà ad ingressum & fauces orci
ibi spectemus eos, qui descendunt, quinam
nt, & quid quisque eorum agat? ANT. Eamus
iogenes. Etenim spectaculum hoc jucundum
erit, videre alios quidem ipsorum lachryma-
: alios autem ut dimittantur, supplicare: quos-
am autem ægrè descendere, & quanquam
rvicem urgente ac impellente Mercurio, re-
ctari tamen, & resupinos obniti, nulla neces-
ate aut commodo suo. CRAT. Ego vero eti-
m exponam vobis, quæ ipse vidi in via quan-

εἶδον, ὁπότε κατήειν κατὰ τὴν ὁδόν. Διογ. Διήγησαι ὦ Κράτης. ἔοικας γάρ τινα παγ- γέλοια ἐρεῖν. Κράτ. Καὶ ἄλλοι μὲν πολλοὶ συγκατέβαινον ἡμῖν. ἐν αὐτοῖς δ' ἐπίσ- μοι, Ισμηνόδωρός τε ὁ πλούσιος, ὁ ἡμέτε- ρος, καὶ Αρσάκης ὁ Μηδίας ὕπαρχος, Ορoίτης, ὁ ἀρμένιος. ὁ μὲν οὖν Ισμηνόδω- ρος, ἐπεφόνευτο γὰρ ὑπὸ λῃστῶν παρὰ τὸ- Κιθαιρῶνα, ἐς Ελευσῖνα οἶμαι βαδίζ- ἔστενέ τι καὶ τραῦμα ἐν ταῖν χεροῖν εἶχε, τὰ παιδία τὰ νεογνὰ, ἃ κατελελοίπει, ἀ- καλεῖτο, καὶ ἑαυτῷ ἐπεμέμφετο τῆς τόλμ- ὃς Κιθαιρῶνα ὑπερβάλλων, καὶ τὰ περὶ τ- Ελευθερὰς χωρία πανέρημα ὄντα ὑπὸ τ- πολέμων, διοδεύων, δύο μόνους οἰκέτας ἐ- πήγετο, καὶ ταῦτα, φιάλας πέντε χρυσᾶς, κυμβία τέτταρα μεθ' ἑαυτοῦ ἔχων. ὁ δ' Α- σάκης, γηραιὸς γὰρ ἤδη, καὶ νὴ Δί' οὐκ ἄσ- μνος τὴν ὄψιν ἐς τὸ βαρβαρικὸν, ἤχθε- καὶ ἠγανάκτει πεζὸς βαδίζων. καὶ ἠξίου τὸν ἵπ- πον αὐτῷ προσαχθῆναι. καὶ γὰρ ὁ ἵππο- αὐτῷ συντεθνήκει, μιᾷ πληγῇ ἀμφότ- ροι διαπαρέντες ὑπὸ Θρᾳκός τινος π- ταστοῦ, ἐν τῇ ἐπὶ τῷ Αράξῃ πρὸς τὸν Κα- παδόκην συμπλοκῇ. ὁ μὲν γὰρ Αρσάκης ἐπήλαυνεν, ὡς διηγεῖτο, πολὺ τῶν ἄλλ- προεξορμήσας. ὑποστὰς δὲ ὁ Θρᾷξ, τῇ πέλτῃ τὲν ὑποδὺς, ἀποσείεται τὸν Αρ-

do Cr gr bij xi & m. ra El ne ber vo qui cir agr ad ra ces pro sta ind bat una bus pre flu dem ut Thr pra

do huc descendebam. DIOG. Exponas licet, Crates videris enim quædam omnino risu digna dicturus esse. CRAT. Tum alii multi nobiscum descendebant, tum vero inter ipsos maxime nobiles, Ismenodorus ille dives, ex nostris, & Arsaces Medorum præfectus, & Orœtes Armenius Ismenodorus igitur (occisus enim fuerat à latronibus circa Cithæronem, quando Eleusinem, ut arbitror, proficiscebatur) & gemebat, & vulnus in manibus præ se ferebat, liberos suos parvos, quos reliquerat, identidem vocando, sibique sibi ob audaciam succensendo, qui cum Cithæronem transisset, ac illa loca circa Eleutheras deserta, ac bellis vastata peragrasset, non amplius quàm duos servos secum adduxisset, idque etiam cum phialas quinq; aureas, & cymbia quatuor secum haberet. Arsaces autem (senior enim jam erat & per Iovem, pro Barbarico illo ritu, facie non adeo inhonesta aut contemnenda) graviter ferebat atque indignabatur, quod pedibus incederet, volebatque sibi equum suum adduci. Nam & equus unà cum eo mortuus fuerat, unà plaga ambobus transfossis à Thracensi quodã scutato, in eo prælio, quod cum rege Cappadocum ad Araxem fluvium commissum fuerat. Nam Arsaces quidem infesto cursu in hostem ferebatur, longè, ut quidem ipse narrabat, ante alios evectus. Thrax autem expectato illo subsistens, ac scutum præ se tenens, venientem Arsacis hastam excu-

κου κοντόν. ὁ δὲ ὑποδεὶς τὴν σάρισσαν, αὐτόν τε διαπείρει, καὶ τὸν ἵππον. Αντ. Πῶς οἷόν τε, ὦ Κράτης, μιᾷ πληγῇ τοῦτο γενέσθαι; Κρατ. ῥᾷστα ὦ Ἀντίσθενες, ὁ μὲν γὰρ ἐπήλαυνεν, εἰκοσάπηχύν τινα κοντὸν προβεβλημένος, ὁ Θρᾷξ δὲ, ἐπειδὴ τῇ πέλτῃ ἀπεκρούσατο τὴν προσβολὴν, καὶ παρῆλθεν αὐτὸν ἡ ἀκωκὴ, ἐς γόνυ ὀκλάσας, δέχεται τῇ σαρίσῃ τὴν ἐπέλασιν, καὶ τιτρώσκει τὸν ἵππον ὑπὸ τὸ στέρνον, ὑπὸ θυμοῦ καὶ σφοδρότητος ἑαυτὸν διαπείραντα. διελαύνεται δὲ καὶ ὁ Ἀρσάκης ἐς τὸν βουβῶνα διαμπὰξ ἄχρις ὑπὸ τὴν πυγήν. ὁρᾷς, οἷόν τι ἐγένετο, οὐ τοῦ ἀνδρὸς, ἀλλὰ τοῦ ἵππου μᾶλλον τὸ ἔργον, ἠγανάκτει δὲ ὅμως, ὁμότιμος ὢν τοῖς ἄλλοις, καὶ ἠξίου ἱππεὺς κατιέναι, ὁ δέ γε Ὀροίτης ὁ ἰδιώτης καὶ πάνυ ἁπαλὸς τὼ πόδε, καὶ οὐδ' ἑστάναι χαμαὶ, οὐχ ὅπως βαδίζειν ἐδύνατο. πάσχουσι δ' αὐτὸ ἀτεχνῶς Μῆδοι πάντες, ἐπὴν ἀποβῶσι τῶν ἵππων, ὥσπερ οἱ ἐπὶ τῶν ἀκανθῶν ἐπιβαίνοντες ἀκροποδητὶ, μόλις βαδίζουσιν. ὥστε ἐπεὶ καταβαλὼν ἑαυτὸν, ἔκειτο, καὶ οὐδεμιᾷ μηχανῇ ἀνίστασθαι ἤθελεν; ὁ βέλτιστος Ἑρμῆς ἀράμενος αὐτὸν, ἐκόμισεν ἄχρι πρὸς τὸ πορθμεῖον, ἐγὼ δὲ ἐγέλων. Αν. Κἀγὼ δὲ ὁπότε κατῄειν, οὐδ' ἀνέμιξα ἐμαυτὸν τοῖς ἄλλοις, ἀλλ' ἀφεὶς οἰμώζοντας αὐτοὺς, προσδρα-

iendo diverlit, ipse autem submissa parumper sarissa sua, & equum & insidentem illū transverberat. AN. Sed quo pacto fieri potuit, Crates, ut uno ictu ambos transverberaret? CR. Facillime Antisthenes. Nam ille quidem cursu ferebatur, contum quendam viginti cubitalem prætentum habens, Thrax autem ubi pelta objecta, plagam excussisset, & jam cuspis ipsum prætervecta esset, in genu procumbens excipit sarissa venientis impetum, ac equum sub pectus vulnerat, quo mox præ furore ac vehementia cursus se ipsum transadigente, eadem hasta etiam Arsaces per inguina utrinque ad nates usque penetrante, transfoditur. Intelligis nimirum quo pacto acciderit, cum non viri, sed equi magis hoc opus fuerit. Veruntamen indignabatur ille, quod non ampliore honore, quàm cæteri habebatur, valebatque eques descendere. Oroetes autem, privatus quispiam erat, atque admodum debilis pedibus, quippe qui neque stare humi, nedum incedere ullo modo poterat. Accidit autem hoc prorsum Medis omnibus, ut postquam ad equis descenderint veluti super spinas ingrediuntur, summis pedum digitis, vix atque ægrè incedunt. Quamobrem, cum per seipsum humi dejectus jaceret, neque ullo prorsum pacto resurgere vellet, bonus ille Mercurius sublatum in se hominem, ad cymbam usque portavit, ego vero sequens ridebam. ANT. Et ego porro quando huc descendebam, neque admiscui meipsum cæ-

μὸν ἐπὶ τὸ πορθμεῖον, προκατέλαβον χώραν, ὡς ἂν ἐπιτηδείως πλεύσαιμι. παρὰ τὸν πλοῦν δὲ, οἱ μὲν ἐδάκρυόν τε, καὶ ἐναυτίων· ἐγὼ δὲ μάλα ἐτερπόμην ἐν αὐτοῖς. ΔΙΟΓ. Σὺ μὲν ὦ Κράτης καὶ Ἀντίσθενες, τοιούτων ἐτύχετε ξυνοδοιπόρων. ἐμοὶ δὲ Βλεψίας τε ὁ δανειστὴς, ὁ ἐκ Πειραιῶς, καὶ Λάμπις ὁ ἀκαρνὰν, ξεναγὸς ὢν, καὶ Δάμις ὁ πλούσιος ἐκ Κορίνθου συγκατῄεσαν. ὁ μὲν Δάμις ὑπὸ τοῦ παιδὸς ἐκ φαρμάκων ἀποθανών. ὁ δὲ Λάμπις ἀποσφάξας ἑαυτόν. ὁ δὲ Βλεψίας λιμῷ ἄθλιος ἐλέγετο ἀπεσκληκέναι, καὶ ἐδήλου ὠχρὸς ἐς ὑπερβολὴν, καὶ λεπτὸς ἐς τὸ ἀκριβέστατον φαινόμενος, ἐγὼ δὲ, καίπερ εἰδὼς, ἀνέκρινον ὃν τρόπον ἀποθάνοι, εἶτα τῷ μὲν Δάμιδι αἰτιωμένῳ τὸν υἱὸν, οὐκ ἄδικα μέντοι ἔπαθες, ἔφην, ὑπ' αὐτοῦ, ὃς τάλαντα ἔχων ὁμοῦ χίλια, καὶ τρυφῶν αὐτὸς ἐνενηκονταέτης ὢν, ὀκτωκαιδεκαέτει νεανίσκῳ τέτταρας ὀβολοὺς παρεῖχες. σὺ δὲ ὦ ἀκαρνὰν, ἔστενε γὰρ κἀκεῖνος, τί αἰτιᾷ τοὺς ἄλλους, σαυτὸν δὲ οὔ; ὃς τοὺς μὲν πολεμίους οὐδὲ πώποτε ἔτρεσας, ἀλλὰ φιλοκινδύνως ἠγωνίζου πρὸ τῶν ἄλλων. ὑπὸ δὲ τῆς αἰσχρᾶς ἡδονῆς, ἑάλως ὁ γενναῖος. ὁ μὲν γὰρ Βλεψίας αὐτὸς, ἑαυτοῦ κατηγόρει φθάσας, πολλὴν τὴν ἄνοιαν, ὅτι χρήματα ἐφύλαττε τοῖς μηδὲν προσήκουσι κληρονόμοις

eris, sed relictis plorantibus illis, ad cymbam accurrendo, præoccupavi mihi locum, quo commodius navigarem. Inter navigandum vero, alii quidem lachrymabantur, alii autem nauseabant: ego vero inter ipsos sedens admodum oblectabar. DIO. *Tu quidem Crates, & tu Antisthenes hujusmodi sortiti estis itineris comites. Mecum autem Blepsias ille fœnerator, ex piræo, & lampis Acarnan, qui mercenarios milites ductaverat, & Damis dives ille Corinthius, simul descendebant. Quorum Damis quidem à puero veneno interemptus fuerat, Lampis autem seipsum jugularat. Blepsias vero fame miser periisse dicebatur, & apparebat sane adhuc pallidus supra modum ac tenuis maximè. Ego vero quanquam antea noram, interrogabam tamen quo pacto quisque mortuus esset. Ac Damidi quidem accusanti filiũ, non injusta vero inquam, passus es ab illo, qui talenta cum haberes coacervata mille, ac ipse in deliciis viveres, annos 90 natus, adolescenti illi 18 annos nato, quatuor obolos suppeditabas. Tu vero Acarnan, (gemebat enim & ille) quid alios accusas, & non potius teipsum? qui hostes quidem haud unquam perhorrueris, sed te ultro periculis offerendo, ante alios in prælium descenderis à turpi vero voluptate generosus ipse tu captus fueris Nam Blepsias quidẽ ipse sese accusabat, ob nimiam stultitiam, quod pecuniam videlicet custodierit heredibus nulla necessitudine sibi conjunctis, diũ*

ἐννόμοις, εἰς ἀεὶ βιώσεσθαι ὁ μάταιος νομίζων. πλὴν ἐμοί γε οὐ τὴν τυχοῦσαν τέρψιν πολλὴν παρέσχον τότε στένοντες, ἀλλ' ἤδη μὲν ἐπὶ τῷ στομίῳ ἐσμέν. ἀποβλέπειν χρὴ, καὶ ἀποσκοπεῖν πόῤῥωθεν τοὺς ἀφικνουμένους, βαβαὶ πολλοί γε καὶ ποικίλοι, καὶ πάντες δακρύοντες, πλὴν τῶν νεογνῶν τούτων καὶ νηπίων. ἀλλὰ καὶ οἱ πάνυ γεγηρακότες ὀδύρονται. τί τοῦτο; ἆρα τὸ φίλτρον αὐτοὺς ἔχει τοῦ βίου; τοῦτον οὖν τὸν ὑπέργηρων ἐρέσθαι βούλομαι. τί δακρύεις τηλικοῦτος ἀποθανών; τί ἀγανακτεῖς ὦ βέλτιστε, καὶ ταῦτα, γέρων ἀφιγμένος; ἦπου βασιλεὺς ἦσθα; Πτω. Οὐδαμῶς. Διογ. Ἀλλὰ σατράπης; Πτω. Οὐδὲ τοῦτο. Διο. Ἆρα οὖν ἐπλούτεις, εἶτα ἀνιᾷ σε τὸ πολλὴν τρυφὴν ἀπολιπόντα τεθνάναι; Πτω. Οὐδὲν τοιοῦτον. ἀλλ' ἔτη μὲν ἐγεγόνειν ἀμφὶ τὰ ἐννενήκοντα. βίον; ἄπορον ἀπὸ καλάμου καὶ ὁρμιᾶς εἶχον, ἐς ὑπερβολὴν πτωχὸς ὢν, ἄτεκνός τε, καὶ προσέτι χωλὸς, καὶ ἀμυδρὸν βλέπων. Διο. εἶτα τοιοῦτος ὢν, ζῆν ἤθελες; Πτω. Ναί ἡδὺ γὰρ ἦν τὸ φῶς, καὶ τὸ τεθνάναι δεινὸν καὶ φευκτέον. Διογ. Παραπαίεις ὦ γέρον, καὶ μειρακιεύῃ πρὸς τὸ χρεὼν, καὶ ταῦτα ἡλικιώτης ὢν τοῦ πορθμέως. τί οὖν ἄν τις λέγοι περὶ τῶν νέων, ὁπότε οἱ τηλικοῦτοι φιλόζωοι εἰσιν;

in perpetuum victurum esse vanus ipse se putat. Verum mihi quidem non vulgarem voluptatem præbuerunt tunc lamentantes isti. Sed jam circa fauces sumus. Aspicere nos illuc oportet, atque à longè contemplari advenientes. Papæ, multi certè, & varii, omnesque lacbrymantes, præter recens natos istos & infantes. Quin & ætate nimia confecti illi lugent. Sed quid hoc? num philtro aliquo vitæ tenentur? Istum igitur decrepitum interrogare lubet, Quid ploras heus tu, tam provecta ætate mortuus? Quid indignaris bone vir, præsertim cum senex huc adveneris? Eccubi rex fuisti? MEND. Haudquaquam. DIO. Verum satrapa. MEND. Neque hoc. DIO. Num igitur dives fuisti, ideoq; malè te habet, quod relictis multis deliciis ac voluptatibus mori coactus fueris? MEND. Nihil tale, sed annos quidem circiter nonaginta natus fui, vitam autem difficilem egi, arundine & linea victum queritans, ultra modum egenus ac pauper, liberis carens, & præterea cladus quoque & parum oculis videns. DI. Et vivere cupiebas cùm talis esses? MEND. Certè quidem dulcis enim erat lux, mori autem grave & horrendum. DIOGEN. Deliras, ô senex, & juveniliter te geris erga necessitatem, & hoc, cùm sis æqualis portitoris hujus. Proinde quid jam de adolescentibus dicamus, quando etiam decrepiti isti tantoperè vivere cupiunt? quos decebat ipsam mortem etiam consectari,

 tanquam

εἰσίν; οὓς ἐχρῆν διώκειν τὸν θάνατον, ὡς τῶν ἐν τῷ γήρᾳ κακῶν φάρμακον; ἀλλ' ἀπίωμεν, μὴ καί τις ἡμᾶς ὑπίδηται, ὡς ἀπόδρασιν βουλεύοντας, ὁρῶν περὶ τὸ στόμιον εἰλουμένους.

ΑΙΑΝΤΟΣ καὶ ΑΓΑΜΕΜΝΟΝΟΣ.

Εἰ σὺ μανεὶς ὦ Αἶαν, σεαυτὸν ἐφόνευσας, ἐμέλλησας δὲ καὶ ἡμᾶς ἅπαντας, τί αἰτιᾷ τὸν Ὀδυσσέα; καὶ πρῴην οὔτε προσέβλεψας αὐτόν, ὁπότε ἧκε μαντευσόμενος, οὔτε προσειπεῖν ἠξίωσας ἄνδρα συστρατιώτην, καὶ ἑταῖρον. ἀλλ' ὑπεροπτικῶς μεγάλα βαίνων, παρῆλθες. Αἰ. Εἰκότως ὦ Ἀγάμεμνον. αὐτὸς γάρ μοι τῆς μανίας αἴτιος κατέστη. μόνος ἀντεξετασθεὶς ἐπὶ τοῖς ὅπλοις. Ἀγαμ. Ἠξίους δὲ ἀνανταγώνιστος εἶναι, καὶ ἀκονιτὶ κρατεῖν ἁπάντων; Αἰα. Ναί, τά γε τοιαῦτα. οἰκεία γάρ μοι ἦν ἡ πανοπλία, τοῦ ἀνεψιοῦ γε οὖσα. καὶ ὑμεῖς οἱ ἄλλοι πολὺ ἀμείνους ὄντες, ἀπείπασθε τὸν ἀγῶνα, καὶ παρεχωρήσατέ μοι τὸν ἆθλον. ὁ δὲ Λαέρτου, ὃν ἐγὼ πολλάκις ἔσωσα κινδυνεύοντα κατακεκόφθαι ὑπὸ τῶν Φρυγῶν, ἀμείνων ἠξίου εἶναι, καὶ ἐπιτηδειότερος

tanquam remedium quoddam eorum malorum, quæ secum fert senectus? Sed abeamus jam, ne quis & nos suspicetur tales esse, qui hinc aufugere cupiamus, quando circa fauces hîc nos oberrare viderit.

AIACIS & AGAMEMNONIS.

SI tu, dum furore correptus fuisti, Ajax, teipsum interfecisti, nos autem cunctos etiam membris, ut putabas, detruncatis, deformasti, quid, quæso, Ulyssem accusas? Ac paulo ante neque aspicere ipsum voluisti, cum venisset huc vates consulturus, neq; alloqui dignatus es virum commilitonem ac socium, sed superbè admodum ac grandi incedens gressu præteriisti. AI. Meritò Agamemnon. Ille enim mihi furoris hujus autor extitit, ut qui solus mecum pro armis judicio contendere ausus fuerit. AG. An vero dignum censebas te, qui absq; adversario, & absq; pulvere, ut dicitur, superares omnes? AI. Quid ni? in tali utique causa. Nam armatura ea, cognationis quodã jure ad me pertinebat, cũ fratris mei patruelis certe fuerit. Deinde vos cæteri, qui multò quam ille præstantiores eratis, detrectastis certamen, & concessistis mihi certaminis præmia. Iste autem Laërtæ filius, quem ego non semel in summo periculo servavi, cum jam à Trojanis prope concideretur, melior me esse

ἔχειν τὰ ὅπλα. Ἀγαμ. Αἰτιῶ τοιγαροῦν ὦ γυναῖε τὴν Θέτιν, ἣ δέον σοι τὴν κληρονομίαν τῶν ὅπλων παραδιδόναι συγγενεῖ γε ὄντι, φέρουσα ἐς τὸ κοινὸν κατέθετο αὐτά. Αἰ. Οὔκ· ἀλλὰ τὸν Ὀδυσσέα, ὃς ἀντεποιήθη μόνος. Ἀγαμ. Συγγνώμη ὦ Αἶαν, εἰ ἄνθρωπος ὤν, ὠρέχθη δόξης ἡδίστου πράγματος, ὑπὲρ οὗ καὶ ἡμῶν ἕκαστος κινδυνεύειν ὑπομένει, ἐπεὶ καὶ ἐκράτησέ σου καὶ ταῦτα παρὰ Τρωσὶ δικασταῖς. Αἰα. Οἶδα ἐγώ, ἥτις μου κατεδίκασεν, ἀλλ' οὐ θέμις λέγειν τι περὶ τῶν θεῶν. τὸν γοῦν Ὀδυσσέα μὴ οὐχὶ μισεῖν οὐκ ἂν δυναίμην, ὦ Ἀγάμεμνον, οὐδ' εἰ αὐτή μοι Ἀθηνᾶ τοῦτο ἐπιτάττοι.

ΜΙΝΩΟΣ καὶ ΣΩΣΤΡΑΤΟΥ.

Ὁ Μὲν ληστὴς οὗτος Σώστρατος, ἐς τὸν Πυριφλεγέθοντα ἐμβεβλήσθω. ὁ δ' ἱερόσυλος ὑπὸ τῆς Χιμαίρας διασπασθήτω. ὁ δὲ τύραννος, ὦ Ἑρμῆ, παρὰ τὸν Τιτυὸν ἀποταθείς, ὑπὸ τῶν γυπῶν κειρέσθω καὶ αὐτὸς τὸ ἧπαρ. ὑμεῖς δὲ οἱ ἀγαθοὶ ἄπιτε κατὰ τάχος ἐς τὸ Ἠλίσιον πεδίον, καὶ τὰς μακάρων νήσους κατοικεῖτε, ἀνθ' ὧν δίκαια ἐποιεῖτε παρὰ τὸν βίον. Σωσ. Ἄκουσον ὦ Μίνως, εἴ σοι δίκαια δόξω λέγειν. Μιν. Νῦν ἀκούσω αὖθις; οὐ γὰρ ἐξελήλεγξαι ὦ

Σώστρατε

esse voluit, ac dignior qui armis illis potiretur. AGA. Accusa igitur ô generose, Thetim, quæ cum tibi debuisset armorum successionem ac hereditatem, utpote cognato, tradere, in medium allata posuit ea. AIA. Haudquaquam, sed Vlyssem, ut qui solus sese mihi opposuerit. AGA. Ignoscendum ô Ajax est: si homo cum esset, appetivit gloriam, rem dulcissimam, cujus gratia etiam nostrum quilibet obire pericula sustinet, præcipuè quando & vicit te postea, & hoc, Trojanis ipsis judicibus AIA. Novi ego quæ me damnarit, sed fas non est, de diis aliquid dicere. Vlyssem igitur aliud quam odisse non possum, Agamemnon, non si ipsa mihi Minerva hoc imperet.

MINOIS & SOSTRATI.

PRedo hic quidem Sostratus, in Pyriphlegethontem precipitetur, sacrilegus autem ille à Chimæra discerpatur, Tyrannus verò iste, Mercuri, juxta Tityum in longum extentus, arrodendum & ipse hepar præbeat vulturibus Vos autem boni ac probi abite quam celeriter in campum Elysium, insulasque beatorum habitate, pro iis, quæ rectè ac justè in vita fecistis. SOSTR. Audi ô Minos, num tibis justa dicere videar. MIN. An ego denuò nunc audiam? an non convictus es ô Sostrate, quod &

malus

Σώστρατε πονηρὸς ὤν, καὶ τοσούτους ἀπεκτονώς; Σω. Ἐλήλεγμαι μέν· ἀλλ' ὅρα, εἰ δικαίως κολασθήσομαι. Μ. Καὶ πάνυ, εἴγε ἀποτίνειν τὴν ἀξίαν δίκαιον. Σωσ. Ὅμως ἀπόκριναί μοι ὦ Μίνως. βραχὺ γάρ τι ἐρήσομαι σε. Μιν. Λέγε μὴ μακρὰ μόνον, ὅπως καὶ τοὺς ἄλλους διακρίνωμεν ἤδη. Σωσ. Ὁπόσα ἔπραττον ἐν τῷ βίῳ, πότερα ἑκὼν ἔπραττον, ἢ ἐπεκέκλωστό μοι ὑπὸ τῆς μοίρας; Μιν. Ὑπὸ τῆς μοίρας δηλαδή. Σωσρ. Οὐκοῦν καὶ οἱ χρηστοὶ ἅπαντες, καὶ οἱ πονηροὶ δοκοῦντες ἡμεῖς, ἐκείνῃ ὑπορετοῦντες, ταῦτα δρῶμεν. Μιν. Ναὶ, τῇ Κλωθοῖ, ἣ ἑκάστῳ ἐπέταξε γεννηθέντι τὰ πρακτέα. Σωσ. Οὖν τις ἀναγκασθεὶς ὑπ' ἄλλου φονεύσειεν τινα, οὐ δυνάμενος ἀντιλέγειν ἐκείνῳ βιαζόμενος, οἷον δήμιος ἢ δορυφόρος, ὁ μὲν δικαστῇ πεισθεὶς, ὁ δὲ τυράννῳ, τίνα αἰτιάσῃ τοῦ φόνου; Μιν. Δῆλον ὡς τὸν δικαστὴν, ἢ τὸν τύραννον, ἐπεὶ οὐδὲ τὸ ξίφος αὐτό· ὑπηρετεῖ γὰρ τοῦτο ὄργανον ὂν πρὸς τὸν θυμὸν, τῷ πρώτως παρασχόντι τὴν αἰτίαν. Σωσ. Εὖ γε ὦ Μίνως, ὅτι καὶ ἐπιδαψιλεύῃ τῷ παραδείγματι. ἢν δέ τις ἀποστείλαντος τοῦ δεσπότου, ἥκῃ αὐτὸς χρυσὸν ἢ ἄργυρον κομίζων τίνι τὴν χάριν ἰστέον, ἢ τίνα εὐεργέτην ἀναγραπτέ-

ον;

malus fueris, & tam multos occideris? SOS. *Convictus quidem fui, sed vide, num justè ob id supplicio afficiar.* MIN. *Atq; admodum si modò id justum est pro merito quemque suo pœnam dependere.* SOSTR. *Attamen responde mihi ô Minos. Breve enim quiddam interrogabo te.* MIN. *Dic, modò non prolixè, quod deinceps & cæteros dijudicare possimus.* SOS. *Quæcunque in vita egi, utrum volens ea feci, an ita à Parcis destinatum mihi fuit?* MIN. *A Parca scilicet.* SO. *Proinde & boni pariter omnes, & nos, qui mali videmur, eadem agimus, dum illi obsecundamus.* MIN. *Ita profectò, Clotho videlicet illi parentes, quæ unicuique injungit, cum primum natus est, quę agenda ipsi sunt* SO. *Si quis igitur vi compulsus ab alio, occiderit aliquem, cum non possit illi contradicere, à quo compescitur, ut, verbi gratia, si carnifex, aut satelles quispiam, alter judici parendo, alter tyranno, quemnam cædis istius reum ages?* MI. *Quem alium, nisi judicem aut tyrannum? Quoniam neq; ipsum gladium accusare possumus, subservit enim hic, tanquam instrumentum quoddam, animis atq; furori accommodatus illius, qui primo causam hanc præbuit.* SOST. *Rectè sane ô Minos, laudo quod hæc etiam exemplo, quasi quodam auctario locupletas. Si quis autem, mittente hero, veniat ipse aurum vel argentum afferens, utri nam ea gratia haberi debet, aut utri beneficium hoc acceptum referendum*

ον; Μιν. Τὸν πέμψαντα ὦ Σώστρατε. διάκονος γὰρ ὁ κομίσας ἦν. Σωστρ. Οὐκοῦν ὁρᾷς, πῶς ἄδικα ποιεῖς κολάζων ἡμᾶς ὑπηρέτας γινομένους, ὧν ἡ Κλωθὼ προσέταττε, καὶ τούτους τιμῶν τοὺς διακονησαμένους ἀλλοτρίοις ἀγαθοῖς; οὐ γὰρ δὴ ἐκεῖνο εἰπεῖν ἔχοι τις ἂν, ἀντιλέγειν δυνατὸν ἦν, τοῖς μετὰ πάσης ἀνάγκης προστεταγμένοις. Μιν. Ω Σώστρατε πολλὰ ἴδοις ἂν καὶ ἄλλα οὐ κατὰ λόγον γινόμενα, εἰ ἀκριβῶς ἐξετάζοις. πλὴν ἀλλὰ σὺ τοῦτο ἀπολαύσεις τῆς ἐπερωτήσεως. διότι οὐ λῃστὴς μόνον, ἀλλὰ καὶ σοφιστής τις εἶναι δοκεῖς. ἀπόλυσον αὐτὸν ὦ Ερμῆ, καὶ μηκέτι κολαζέσθω, ὅρα δὲ, μὴ καὶ τοὺς ἄλλους νεκροὺς ἐρωτᾷν τὰ ὅμοια διδάξῃς.

ΜΕΝΙΠΠΟΣ ἢ ΝΕΚΥΟΜΑΝΤΕΙΑ.

Μένιππος. Φιλωνίδης.

Ω χαῖρε μέλαθρον, πρόπυλά θ' ἑστίας ἐμῆς. ὡς ἄσμενός σ' ἐσεῖδον, ἐς φάος μολών. Φιλ. Οὐ Μένιππος οὗτός ἐστιν ὁ κύων; οὐ μὲν οὖν ἄλλος, εἰ μὴ ἐγὼ παραβλέπω Μένιππος ὅλος. τί δ' αὐτῷ βούλεται τὸ ἀλλόκοτον τοῦ σχήματος, πῖλος καὶ λύ-

ρα

referendum est? MIN. Et qui misit, Sostratus, nam ille qui attulit, minister tantum fuit. SOS. Vides ne igitur, quàm injusta facis, dum supplicio afficis nos, qui ministri tantum fuimus eorum, quæ Clotho nobis imperavit, & rursum, dũ honore prosequeris eos, qui in alienis bonis veluti dispensatores quosdã sese gesserunt. Non enim illud dicere quisquam poterit, quod contradicere, aut imperata detrectare licitum fuerit in iis, quæ cum omni prorsum vi & necessitate imperata fuere. MIN. Multa, Sostrate, & alia videas licet, minime secundum rationem fieri, si diligenter expendas. Verumtamen tu ex hac quæstione hoc boni consecutus es, quandoquidem non prædo solum, verum etiam Sophista quidam esse videris. Solve ipsum Mercuri, neve deinceps amplius puniatur. Ceterum illud vide, ne & ceteros manes similia interrogare doceas.

MENIPPVS seu NECYOMANTIA.

MENIPPUS, PHILONIDES.

Salve atrium, domusque vestibulum mea, ut te lubens aspicio luci redditus. PHIL. Num hic Minippus est canis ille? Non hercle alius, nisi ego forte ad Menippos omnes hallucinor. At quid sibi vult habitus hujus insolentia.

ρα καὶ λεοντῇ; προσιτέον δ' ὅμως αὐτῷ. χαῖρε ὦ Μένιππε. καὶ πόθεν ἡμῖν ἀφῖξαι; πολὺν γὰρ χρόνον οὐ πέφηνας ἐν τῇ πόλει. Μέν. Ἥκω νεκρῶν κευθμῶνα, καὶ σκότου πύλας λιπὼν, ἵν' ᾅδης χωρὶς ᾤκισται θεῶν. Φιλ. Ἡράκλεις. ἐλελήθει Μένιππος ἡμᾶς ἀποθανὼν, κᾆτ' ἐξ ὑπαρχῆς ἀναβεβίωκεν; Μέν. Οὐκ. ἀλλ' ἔτ' ἔμπνουν ἀΐδης μ' ἐδέξατο. Φιλ. Τίς δ' ἡ αἰτία σοι τῆς καινῆς καὶ παραδόξου ταύτης ἀποδημίας; Μένιπ. Νεότης μ' ἐπῆρε, καὶ θράσος τοῦ νοῦ πλέον. Φιλ. Παῦσαι μακάριε τραγῳδῶν, καὶ λέγε οὑτωσί πως ἁπλῶς, καταβὰς ἀπὸ τῶν ἰαμβείων. τίς ἡ στολή; τί σοι τῆς κάτω πορείας ἐδέησεν; ἄλλως γὰρ οὐχ ἡδεῖά τις, οὐδὲ ἀσπάσιος ἡ ὁδός. Μέν. Ὦ φιλότης, χρειώ με κατήγαγεν εἰς ἀΐδαο, ψυχῇ χρησόμενον Θηβαίου Τειρεσίαο. Φ. Οὗτος; ἀλλ' ἦ παραπαίεις. οὐ γὰρ ἂν οὕτως ἐμμέτρως ἐρραψῴδεις πρὸς ἄνδρας φίλους. Μέν. Μὴ θαυμάσῃς ὦ ἑταῖρε. νεωστὶ γὰρ Εὐριπίδῃ καὶ Ὁμήρῳ συγγενόμενος, οὐκ οἶδ' ὅπως ἀνεπλήσθην τῶν ἐπῶν, καὶ αὐτόματά μοι τὰ μέτρα ἐπὶ τὸ στόμα ἔρχεται. ἀτὰρ εἰπέ μοι πῶς τὰ ὑπὲρ γῆς ἔχει, καὶ τί ποιοῦσιν ἐν τῇ πόλει; Φιλ. Καινὸν οὐδὲν, ἀλλ' οἷα καὶ πρὸ τοῦ, ἁρπάζουσιν, ἐπιορκοῦσι, τοκογλυφοῦσιν, ὀβολοστατοῦσιν. Μ. Ἄθλιοι καὶ κακοδαίμονες. οὐ γὰρ ἴσ-

σι

clava & lyra, & leonis exuviæ? Adeundus
...en est. Salve Menippe, unde nobis adveni...
? diu est quod te in urbe non vidimus. ME-
...P. Adsum reversus mortuorum è latibulis,
...ibusque tristium tenebrarum nigris, Manes
... inferni manent superis procul PH. O Her-
...es clam nobis Menippus vita functus est, re-
...itque denuo MEN. Non, sed me adbuc vi-
...m recepit Tartarus. PHIL. Quænam cau-
...ibi fuit novæ hujus atque incredibilis viæ?
...ENIP. Iuventa me incitavit, atque audacia,
...ãm pro juventa, haud paululum impoten-
.... PHIL Siste ô beate, Tragica, & ab Jam-
... descendens, sic potius simpliciter eloquere,
...enam hæc vestis, quæ causa tibi itineris in-
...ni fuit, cum alioqui neque jucunda, neque
...lect...bilis sit via? MENIP. Res, dilecte, gra-
... me infernas egit ad umbras, Consulerem
...nes ut vatis Tiresiai. PH. Ille? atque deli-
..., alioqui non hoc pacto caneres apud amicos
...sarcinatis versibus. MEN. Ne mireris, ami-
..., nuper enim cum Euripide atque Homero
...rsatus, nescio quo facto versibus sic impletus
...m, ut numeri mihi in os sua sponte conflu-
...t. Verùm dic mihi quo pacto res humanæ
...se habent in terris? & quid nam in urbe
...itur? PHILON. Nihil novi. Sed quem...d-
...odum prius actitabant, rapiunt, pejerant.
...nerantur, usuras colligunt. MENIP. O mi-
...i atque infœlices. Nesciunt enim, qualia
de

σιν, οἷα ἔναγχος κεκύρωται παρὰ τοῖς κάτω, καὶ οἷα κεχειροτόνηται τὰ ψηφίσματα κατὰ τῶν πλουσίων, ἃ μὰ τὸν κέρβερον, οὐδὲ μία μηχανὴ τοῦ διαφυγεῖν αὐτούς. Φιλ. Τί φῄς; δέδοκταί τι νεώτερον τοῖς κάτω περὶ τῶν ἐνθάδε; Μέν. Νὴ Δία καὶ πολλά, ἀλλ' οὐ θέμις ἐκφέρειν αὐτὰ πρὸς ἅπαντας, οὐδὲ τὰ ἀπόρρητα ἐξαγορεύειν, μή καί τις ἡμᾶς γράψεται γραφὴν ἀσεβείας ἐπὶ τοῦ ῥαδαμάνθυος. Φι. Μηδαμῶς ὦ Μένιππε πρὸς τοῦ Διός, μὴ φθονήσῃς τῶν λόγων φίλῳ ἀνδρί. πρὸς γὰρ εἰδότα σιωπᾶν ἐρεῖς τά τ' ἄλλα, καὶ πρὸς μεμυημένον. Μ. Χαλεπὸν μὲν ἐπιτάττεις τοὐπίταγμα, καὶ οὐ πάντῃ ἀσφαλές. πλὴν ἀλλὰ σοῦ γε ἕνεκα τολμητέον. ἔδοξε δὴ τοὺς πλουσίους τούτους καὶ πολυχρημάτους, καὶ τὸ χρυσίον κατάκλειστον, ὥσπερ τὴν Δανάην φυλάττοντας Φιλ. Μὴ πρότερον εἴπῃς ὦ 'γαθὲ τὰ δεδογμένα, πρὶν ἐκεῖνα διελθεῖν, ἃ μάλιστ' ἂν ἡδέως ἀκούσαιμί σου, ἥτις αἰτία σοι τῆς καθόδου ἐγένετο, τίς δ' ὁ τῆς πορείας ἡγεμών. εἶθ' ἑξῆς ἅ τε εἶδες, ἅ τε ἤκουσας, παρ' αὐτοῖς. εἰκὸς γὰρ δὴ φιλόκαλον ὄντα σε, μηδὲν τῶν ἀξίων θέας ἢ ἀκοῆς παραλιπεῖν. Μ. Ὑπουργητέον καὶ ταῦτά σοι. τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε φίλος ἀνὴρ βιάζοιτο; καὶ δὴ πρῶτά σοι δίειμι τὴν γνώμην ἐμήν, καὶ ὅθεν ὁρμήθην πρὸς τὴν κατάβασιν. ἐγὼ γὰρ ἄχρι μὲν ἐν παισὶν ἦν, ἀκούων Ὁμήρου καὶ Ἡσιόδου πολέμους καὶ στάσεις διηγου-

de nostris rebus nuper ad inferos decreta sunt, qualesque sorte jacti sunt in divites istos saeculi, quos per Cerberum nullo pacto poterunt effugere. PH. Quid ais? Novi ne aliquid apud inferos nostris de rebus decretum est M. Per Iovem, & quidem multa, verum prodere non licet, neque arcana quę sunt, revelare, ne quis fortè nos apud Rhadamanthum impietatis accuset. PHILON. Nequaquam ô Menippe, per Iovem, ne invideas sermones amico. Nam apud hominem tacendi gnarum, & initiatum praeterea sacris edisseres. MENIPP: Dura profecto jubes, & neutiquam tuta, verum tua gratia tamen audendum est. Decretum est ergo, divites istos ac pecuniosos aurum tanquam Danaen servantes obstrusum. PHILONID. Ne prius, ô beate, quae sunt decreta dixeris, quàm ea percurras omnia, quae abs te audire libentissime velim. Quae videlicet descensus causa fuerit, quis itineris dux, deinde ex ordine, & quae illic videris, & quae audieris omnia. Verisimile est enim te, cum res pulcbras videndi curiosus sis, eorum quae visu aut auditu digna videbantur, nihil omnino praetermisisse. MEN. Parendum etiam in bis tibi est. Nam quid facias, urgente amico? Ac primum sane tibi expediam, quae res animum meum ad hunc descensum impulerit. Ego igitur, cum adhuc puer essem, audiremq; Homerum atque Hesiodum, seditiones ac bella ca-

μόνων, οὐ μόνον τῶν ἡμιθέων, ἀλλὰ καὶ αὐτῶν
ἤδη τῶν θεῶν, ἔτι δὲ καὶ μοιχείας αὐτῶν καὶ
βίας καὶ ἁρπαγὰς καὶ δίκας, καὶ πατέρων
ἐξελάσεις, καὶ ἀδελφῶν γάμους, πάντα ταῦ-
τα ἡγούμην εἶναι καλὰ, καὶ οὐ παρέργως
ἐκινούμην πρὸς αὐτά. ἐπεὶ δὲ εἰς ἄνδρας τε-
λεῖν ἠρξάμην, πάλιν αὖ ἐνταῦθα ἤκουον τῶν
νόμων τἀναντία τοῖς ποιηταῖς κελευόντων,
μήτε μοιχεύειν, μήτε στασιάζειν, μήτε ἁρ-
πάζειν. ἐν μεγάλῃ οὖν καθειστήκειν ἀμφιβο-
λίᾳ, οὐκ εἰδὼς ὅτι χρησαίμην ἐμαυτῷ· οὔτε
γὰρ τοὺς θεοὺς ἄν ποτε ἡγούμην μοιχεῦσαι
καὶ στασιάσαι πρὸς ἀλλήλους, εἰ μὴ ὡς περὶ
καλῶν τούτων ἐγίνωσκον, οὔτ' αὖ τοὺς νομο-
θέτας τἀναντία τούτοις παραινεῖν, εἰ μὴ λυ-
σιτελεῖν ὑπελάμβανον. ἐπεὶ δὲ διηπόρουν,
ἔδοξέ μοι ἐλθόντα παρὰ τοὺς καλουμένους
τούτους φιλοσόφους, ἐγχειρίσαι τε ἐμαυτὸν
καὶ δεηθῆναι αὐτῶν χρῆσθαί μοι ὅτι βούλοιν-
το, καί τινα ὁδὸν ἁπλοῦν καὶ βεβαίαν ὑπο-
δεῖξαι τοῦ βίου. ταῦτα μὲν δὴ φρονῶν προ-
σῄειν αὐτοῖς. ἐλελήθειν δ' ἐμαυτὸν ἐς αὐτό
φασι, τὸ πῦρ ἐκ τοῦ καπνοῦ βιαζόμενος.
παρὰ γὰρ δὴ τούτοις μάλιστα εὕρισκον ἐπι-
σκοπῶν τὴν ἄγνοιαν καὶ τὴν ἀπορίαν πλείονα,
ὥστε μοι τάχιστα χρυσοῦν ἀπέδειξαν οὗτοι
τὸν ἰδιωτῶν βίον. ἀμέλει, ὁ μὲν αὐτῶν παρῄ-
νει τὸ πᾶν ἥδεσθαι, καὶ μόνον τοῦτο ἐκ παντὸς
μετιέναι, τοῦτο γὰρ εἶναι τὸ εὔδαιμον. ὁ δέ τις
ἔμπαλιν, πονεῖν τὰ πάντα, καὶ μοχθεῖν, καὶ

ntentes, non semideorum modò, sed & ipsorum etiam Deorum, adhuc verò & adulteria eorum & violentias, rapinas, supplicia, patrum expulsiones, & fratrum, sororum nuptias, hæc mehercule omnia bona pulchraque putabam, & studiosè erga ea afficiebar. Postquam vero in virilem jam ætatem perveneram, hic leges rursus jubentes audio Poëtis adprimè contraria, neque videlicet adulteria committere, neque seditiones movere neque rapinas exercere. Hic igitur hæsitabundus constiti, incertus omnino quo me pacto gererem. Neque enim Deos unquam putavi mœchaturos, aut seditiones invicem fuisse moturos, nisi de his rebus perinde ac bonis judicassent. Neque rursus legum latores his adversa iussuros, nisi id conducere existimarent. Quoniam igitur in dubio eram, visum est mihi Philosophos istos adire, atque his me in manus dedere rogareque uti me, utcunque liberet uterentur, vitæque viam aliquam simplicem ac certam ostenderent. Hæc igitur mecum reputans ad eos venio, imprudens profecto, quod me ex fumo (ut aiunt) in flammam conjicerem. Apud hos enim maxime diligenter observans summam reperi ignorantiam, omniaque magis incerta, adeo ut præ his ilico mihi vel idiotarum vita iam aurea videretur. Alius etenim soli me iussit voluptati studere, atque ad eum scopum universum vitæ cursum dirigere. In eo ipsam sitam

σῶμα καταναγκάζειν, ῥυπῶντα καὶ αὐχμῶντα, καὶ πᾶσι δυσαρεστοῦντα, καὶ λοιδορούμενον, συνεχὲς ἐπιρραψῳδῶν τὰ πάνδημα ἐκεῖνα τοῦ Ἡσιόδου περὶ τῆς ἀρετῆς ἔπη, καὶ τὸν ἱδρῶτα, καὶ τὴν ἐπὶ τὸ ἄκρον ἀνάβασιν. ἄλλος καταφρονεῖν χρημάτων παρεκελεύετο, καὶ ἀδιάφορον οἴεσθαι τὴν κτῆσιν αὐτῶν. ὁ δέ τις, αὖ πάλιν ἀγαθὸν εἶναι καὶ τὸν πλοῦτον αὐτὸν ἀπεφαίνετο. περὶ μὲν γὰρ τοῦ κόσμου τί χρὴ καὶ λέγειν; ὅς γε ἰδέας καὶ ἀσώματα καὶ ἀτόμους καὶ κενὰ, καὶ τοιοῦτόν τινα ὄχλον ὀνομάτων ὁσημέραι παρ' αὐτῶν ἀκούων ἐναντίων, καὶ τὸ πάντων δεινότατον, ὅτι περὶ τῶν ἐναντιωτάτων ἕκαστος αὐτῶν λέγων, σφόδρα νικῶντας καὶ πιθανοὺς λόγους ἐπορίζετο, ὥστε μήτε τῷ θερμὸν τὸ αὐτὸ πρᾶγμα λέγοντι, μήτε τῷ ψυχρὸν, ἀντιλέγειν ἔχειν, καὶ ταῦτα εἰδότα σαφῶς, ὡς οὐκ ἄν ποτε θερμόν τι εἴη καὶ ψυχρὸν ἐν ταὐτῷ χρόνῳ. ἀτεχνῶς οὖν ἔπασχον τοῖς νυστάζουσι τούτοις ὅμοιον, ἄρτι μὲν, ἐπινεύων, ἄρτι δὲ, ἀνανεύων ἔμπαλιν. ἔτι δὲ πολλῷ τοῦτο ἐκείνων ἀλογώτερον, τοὺς γὰρ αὐτοὺς τούτους εὕρισκον ἐπιτηρῶν, ἐναντιώτατα τοῖς αὐτῶν λόγοις ἐπιτηδεύοντας. τοὺς γοῦν καταφρονεῖν παραινοῦντας χρημάτων, ἑώρων ἀπρὶξ ἐχομένους αὐτῶν, καὶ περὶ τόκων διαφερομένους, καὶ ἐπὶ μισθῷ παιδεύοντας,

esse felicitatem. Alius rursus omninò laborare, corpusq; siti, vigiliis, ac squalore subigere, miserè semper adfectum, contumeliisque obnoxium assidue, Hesiodi sedulò inculcans celebria ille de virtute carmina, & sudorem videlicet, & aclivem in verticem montis ascensum. Alius contemnere jubet pecunias, earumque possessionem indifferentem putare. Alius contra bonas ipsas etiam divitias esse pronunciat. De mundo vero quid dicam? de quo ideas, incorporeas substantias, atomos, & inane, ac talem quandam repugnantium invicem nominum turbam indies audiebam, & quod absurdorum omnium maximè fuit absurdissimum, de contrariis unusquisque cùm diceret, invincibiles admodum & probabiles sermones adferebat, ut nec ei qui calidum, nec ei qui frigidum idem prorsus esse contenderent, contra quicquam hiscere potuerim, atque id, cùm tamen manifestè cognoscerem fieri nunquam posse, ut eadem res calida simul frigidaque sit. Prorsum igitur tale quiddam mihi accidebat, quale solet dormitantibus, ut interdum capite annuerem, interdum contra abnuerem. Præterea quod multo erat istis absurdius, vitam eorum diligenter observans, comperi eam cum ipsorum verbis præceptisque summopere pugnare. Eos enim qui spernendam censebant pecuniam, avidissimè conspexi colligendis divitiis inhiare, de fœnore litigantes, pro merce-

 de

παιδεύοντας, καὶ πάντα ἕνεκα τούτων ὑπομένοντας. τούς τε τὴν δόξαν ἀποβαλλομένους, αὐτῆς ἕνεκα πάντα ἐπιτηδεύοντας, ἡδονῆς τε αὖ σχεδὸν ἅπαντας κατηγοροῦντας, ἰδίᾳ δὲ μόνῃ ταύτῃ προσηρτημένους. σφαλεὶς οὖν καὶ ταύτης τῆς ἐλπίδος, ἔτι μᾶλλον ἐδυσχέραινον, ἠρέμα παραμυθούμενος ἐμαυτὸν, ὅτι μετὰ πολλῶν καὶ σοφῶν, καὶ σφόδρα ἐπὶ συνέσει διαβεβοημένων ἀνόητός τέ εἰμι, καὶ τἀληθὲς ἔτι ἀγνοῶν περιέρχομαι. καί μοί ποτε διαγρυπνοῦντι τούτων ἕνεκα, ἔδοξεν ἐς Βαβυλῶνα ἐλθόντα, δεηθῆναι τινος τῶν μάγων, τῶν ζωροάστρου μαθητῶν καὶ διαδόχων. ἤκουον δ' αὐτοὺς ἐπῳδαῖς τε καὶ τελεταῖς τισιν ἀνοίγειν τε τοῦ ᾅδου τὰς πύλας, καὶ κατάγειν ὃν ἂν βούλονται ἀσφαλῶς, καὶ ὀπίσω αὖθις ἀναπέμπειν. ἄριστον οὖν ἡγούμην εἶναι, παρά τινος τούτων διαπραξάμενον τὴν κατάβασιν, ἐλθόντα παρὰ Τειρεσίαν τὸν Βοιώτιον, μαθεῖν παρ' αὐτοῦ, ἅτε μάντεως καὶ σοφοῦ. τίς ἐστιν ὁ ἄριστος βίος, καὶ ὃν ἄν τις ἕλοιτο εὖ φρονῶν. καὶ δὴ ἀναπηδήσας ὡς εἶχον τάχους, ἔτεινον εὐθὺ Βαβυλῶνος. ἐλθὼν δὲ, συγγίνομαί τινι τῶν Χαλδαίων σοφῷ ἀνδρὶ καὶ θεσπεσίῳ τὴν τέχνην πολιῷ μὲν τὴν κόμην, γένειον δὲ μάλα σεμνὸν καθειμένῳ, τοὔνομα δὲ ἦν αὐτῷ Μιθροβαρζάνης.

νης.

docentes, omnia deniq; nummorum gratia
... antes. Ii verò qui gloriam verbis asper-
... buntur, omnem vitæ suæ rationem in glo-
... m referebant. Voluptatem rursus omnes
... mè palam incessebant, clanculum vero ad
... solam libenter confluebant. Ergo hac
... que spe frustratus, magis adhunc ægrè mole-
... que tuli. Aliquantulum tamen inde memet
... solabar, quod unà cum multis & sapienti-
... & celeberrimis insipiensque essem, atque
... e adhuc ignarus oberrarem. Pervigilan-
... ibi tandem, atque hisce de rebus mecum co-
... nti venit in mentem, ut Babylonem profe-
..., magnorum aliquem ex Zoroastri discipulis
... successoribus convenirem. Audieram siqui-
... eos inferni portas carminibus quibusdam
... mysteriis aperire, & quem libuerit, illuc
... deducere, ac rursus inde reducere. Optimè
... me facturum putavi, si cum horum quo-
... de descensu paciscens, Tiresiam Bœotium
... ulerem, ab eoque perdiscerem (quippe
... vates fuerit & sapiens) quæ vita sit opti-
... quamque sapientissimus quisque potissi-
... elegerit. Ac statim quidem exiliens
... m poteram celerrime Babylonem recta
... endi. Quo cùm venio, diversor apud
... dæorum quemdam hominem certè sapien-
... atque arte mirabilem, coma quidem ca-
..., admodumque promissa barba venera-
..., nomen autem illi fuit Mitrobarzanes.

νης. δεηθεὶς δὲ καὶ καθικετεύσας, μόλις ἔτυ-
χον παρ' αὐτοῦ ἐφ' ὅτῳ βούλοιτο μισθ-
καθηγήσασθαί μοι τῆς ὁδοῦ. παραλαβὼ-
δέ με ὁ ἀνὴρ, πρῶτα μὲν ἡμέρας ἐννέα κα-
εἴκοσιν ἅμα τῇ σελήνῃ ἀρξάμενος ἔλου-
κατάγων ἐπὶ τὸν εὐφράτην, ἕωθεν πρὸς ἀ-
νατέλλοντα τὸν ἥλιον, ῥῆσίν τινα μακρὰν ἐπι-
λέγων, ἧς οὐ σφόδρα κατήκουον. ὥσπερ γὰρ
φαῦλοι τῶν ἐν τοῖς ἀγῶσι κηρύκων, ἐπίτρ-
χόν τι καὶ ἀσαφὲς ἐφθέγγετο, πλὴν ἀ-
ἐῴκει γέ τινας ἐπικαλεῖσθαι δαίμονας. μ-
γοῦν τὴν ἐπῳδὴν τρὶς ἄν μου πρὸς τὸ πρόσ-
πον ἀποπτύσας, ἐπανῄει πάλιν, οὐδένα τ-
ἀπαντῶν προσβλέπων. καὶ σιτία μὲν ἡμ-
τὰ ἀκρόδρυα, ποτὸν δὲ γάλα καὶ μελίκρατ-
καὶ τὸ τοῦ χοάσπου ὕδωρ. εὐνὴ δὲ ὑπαίθρι-
ἐπὶ τῆς πόας. ἐπεὶ δὲ ἅλις εἶχε τῆς προδιαιτ-
σεως, περὶ μέσας νύκτας ἐπὶ τὸν τίγρητα π-
ταμὸν ἀγαγὼν, ἐκάθηρέ τέ με καὶ ἀπέμ-
ξε, καὶ περιήγνισε δᾳδὶ καὶ σκίλλῃ, καὶ ἄλλο-
πλείοσιν, ἅμα καὶ τὴν ἐπῳδὴν ἐκείνην ὑπ-
τονθορύσας, εἶτα ὅλον με καταμαγεύσ-
καὶ περιελθὼν, ἵνα μὴ βλαπτοίμην ὑπὸ τ-
φαντασμάτων, ἐπανάγει ἐς τὴν οἰκίαν,
εἶχον ἀναποδίζοντα. καὶ τὸ λοιπὸν ἀμ-
πλοῦν εἰχόμεθα. αὐτὸς μὲν οὖν μαγικήν τι-
ἐνέδυ στολὴν, τὰ πολλὰ ἐοικυῖαν τῇ μηδικῇ
δὲ τουτοισὶ φέρων ἐνεσκεύασε τῷ πίλῳ καὶ
λεοντῇ, καὶ προσέτι τῇ λύρᾳ, καὶ παρεκελ-
σατο, ἤν τις ἔρηταί με τοὔνομα, Μένιπ-

ans igitur obsecransque vix excravi, ut quavis mercede vellet, in illam me viam deduceret. Suscipiens vero me vir primum quidem dies novem ac viginti cum luna simul incipiens ad Euphratem, manè solem orientem versus perducens, ac sermonem quemdam longum mussitans, quem non ad modum audiebam. Nam (quod in certamine praecones inepti solent) volubile quiddam atque incertum proferebat, nisi quod quosdam visus est invocare dæmones. Post illam igitur incantationem ter mihi in vultum spuens rediit rursus, oculos nusquam in obvium quenquam deflectens. Et cibus quidem nobis glandes erant, potus autem lac atque mulsum, & Choaspi lympha, lectus vero in herba sub dio fuit. At postquam jam præparati satis hac dieta sumus, medio noctis silentio ad Tigretem me fluvium ducens, purgavit simul atque abstersit, facéque lustravit ac squilla, tum pluribus itidem aliis, & magicum simul illud carmen submurmurans, dein totum me jam incantans, ac ne à spectris lederer, circumiens, reducit domum, ita ut eram reciprocantem. Reliqua noctis parte navigationi nos præparavimus. Ipse igitur magicam quandam vestem induit, Medorum vesti ut plurimum similem, ac me quidem his quæ vides, ornavit, pileo videlicet, leonis exuviis, atque insuper lyra. Jussit præterea ut nomen si quis me ro-

 get,

μὲν μὴ λέγειν, Ηρακλέα δὲ ἢ Οδυσσέα ἢ Ο-
φέα. ΦΙΛ. Ὡς δὴ τί τοῦτο ὦ Μένιππε, οὐ γ-
συνίημι τὴν αἰτίαν οὔτε τοῦ σχήματος, οὔτε τ-
νομάτων. Μ. Καὶ μὴν πρόδηλόν γε τοῦτο, κ-
παντελῶς οὐκ ἀπόρρητον. ἐπεὶ γὰρ οὗτοι πρὸ ἡμ-
ζῶντες ἐς ᾅδου κατεληλύθεσαν, ἡγεῖτ-
εἴ με ἀπεικάσειεν αὐτοῖς, ῥᾳδίως ἂν τὴν
Αἰακοῦ φρουρὰν διαλαθεῖν, καὶ ἀκωλύτ-
παρελθεῖν, ἅτε συνηθέστερον τραγικῶς μ-
λα παραπεμπόμενον ὑπὸ τοῦ σχήματος. ἤ-
δ' οὖν ὑπέφαινεν ἡμέρα, καὶ κατελθόντες
ἐπὶ τὸν ποταμὸν, περὶ ἀναγωγὴν ἐγιγνόμε-
παρεσκεύαστο δ' αὐτῷ καὶ σκάφος, καὶ ἱερεῖ-
καὶ μελίκρατα, καὶ ἄλλα ὅσα πρὸς τὴν τελετ-
χρήσιμα. ἐμβαλόμενοι οὖν ἅπαντα τὰ π-
ρεσκευασμένα, οὕτω δὴ καὶ αὐτοὶ βαίνομ-
ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες
μέχρι μέν τινος ὑπεφερόμεθα ἐν τῷ ποτ-
μῷ εἶτα δ' ἐσεπλεύσαμεν ἐς τὸ ἕλος καὶ τ-
λίμνην, ἐς ἣν ὁ εὐφράτης ἀφανίζεται. περα-
ωθέντες δὲ καὶ ταύτην, ἀφικνούμεθα ἔς τι χ-
ρίον ἔρημον καὶ ὑλῶδες, καὶ ἀνήλιον. ἐς ὃ ἀπ-
βάντες, ἡγεῖτο δὲ ὁ Μιτροβαρζάνης. βόθρ-
τε ὠρυξάμεθα, καὶ τὰ μῆλα ἐσφάξαμεν,
τὸ αἷμα περὶ τὸν βόθρον ἐσπείσαμεν. ὁ δὲ μ-
γος ἐν τοσούτῳ δᾷδα καιομένην ἔχων. ο-
ἔτ' ἠρεμίᾳ τῇ φωνῇ, παμμέγεθες δὲ ὡς οἷ-
τε ἦν ἀνακραγὼν, δαίμονάς τε ὁμοῦ πάν-
ἐπιβοᾶτο, καὶ ποινὰς καὶ ἐριννύας, καὶ νυχ-

Εκάτ-

git, Menippum quidem ne dicerem, sed Herculem, aut Ulyssem, aut Orpheum. PHILONID. Quid ita ô Menippe? neque enim caussam aut habitus, aut nominis intelligo. MENIPP. Atqui perspicuum id quidem est, ac neutiquam arcanum. Posteaquam enim isti ante nos ad inferos olim vivi descenderunt, putavit, si me his assimularet, fore ut facilius Aeaci custodias fallerem, atque nullo prohibente transirem, utpote notior tragico admodum illo cultu emissus. Jam igitur dies apparuit, cum nos ad flumen ingressi in recessum incumbimus. parata siquidem ab illo fuerant, cymba, sacrificia, mulsa, & in id mysterium denique quibuscunque opus erat. Imponentes ergo omnia preparata, ita jam & ipsi ingredimur tristes, lachrymisque implemur obortis. Atque aliquantisper quidem in fluvio ferimur. deinde in sylvam delati sumus, ac lacum quendam, in quem Euphrates conditur. Tum hoc quoque transmisso, in regionem quandam pervenimus solam, sylvosam atque opacam, in quam descendentes (praeibat vero Mitrobarzane) & puteum effodimus, & oves jugulamus, & foveam sanguine conspergimus. At magus interim accensam facem tenens, haud amplius jam summisso murmure, sed voce quam poterat maxima clamitans, daemones simul omnes convocat, Poenas, Erinnyes, Hecaten nocturnam,

Ἑκάτην καὶ τὴν ἐπαινὴν Περσεφόνειαν, παραμίξας ἅμα βαρβαρικά τινα καὶ ἄσημα ὀνόματα καὶ πολυσύλλαβα, εὐθὺς οὖν πάντα ἐκεῖνα ἐσαλεύετο, καὶ ὑπὸ τῆς ἐπῳδῆς τοὔδαφος ἀνερρήγνυτο, καὶ ἡ ὑλακὴ τοῦ Κερβέρου πόῤῥωθεν ἠκούετο, καὶ τὸ πρᾶγμα ὑπερκατηφὲς ἦν καὶ σκυθρωπόν. ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς. κατεφαίνετο γὰρ ἤδη τὰ πλεῖστα, καὶ ἡ λίμνη, καὶ ὁ Πυριφλεγέθων, καὶ τοῦ Πλούτωνος τὰ βασίλεια. κατελθόντες δ' ὅμως διὰ τοῦ χάσματος, τὸν μὲν Ῥαδάμανθυν εὕρομεν τεθνεῶτα μικροῦ δεῖν ὑπὸ τοῦ δέους. ὁ δὲ Κέρβερος ὑλάκτησε μέν τι, καὶ παρεκίνησε, ταχὺ δέ μου κρούσαντος τὴν λύραν, παραχρῆμα ἐκοιμήθη ὑπὸ τοῦ μέλους. ἐπεὶ δὲ πρὸς τὴν λίμνην ἤλθομεν, μικροῦ μὲν οὐδ' ἐπεραιώθημεν. ἦν γὰρ ἤδη πλῆρες τὸ πορθμεῖον, καὶ οἰμωγῆς ἀνάπλεων. τραυματίαι δὲ πάντες ἐπέπλεον, ὁ μὲν τὸ σκέλος, ὁ δὲ τὴν κεφαλὴν, ὁ δὲ ἄλλο τι συντετριμμένος, ἐμοὶ δοκεῖν ἔκ τινος πολέμου παρόντες. ὅμως δ' οὖν ὁ βέλτιστος Χάρων, ὡς εἶδε τὴν λεοντῆν, οἰηθείς με τὸν Ἡρακλέα εἶναι, ἐσεδέξατό με καὶ διεπόρθμευσέ τε ἄσμενος, καὶ ἀποβᾶσι διεσήμαινε τὴν ἀτραπόν. ἐπεὶ δὲ ἦμεν ἐν τῷ σκότῳ, προῄει μὲν ὁ Μιθροβαρζάνης, εἱπόμην δ' ἐγὼ κατόπιν ἐχόμενος αὐτοῦ, ἕως πρὸς λειμῶνα μέγιστον ἀφικνούμεθα τῷ ἀσφοδέλῳ κατάφυτον, ἔνθα δὴ περιεπέτοντο ἡμᾶς τετριγυῖαι τῶν νεκρῶν αἱ σκιαί. κατ' ὀλίγον δὲ

προϊόντες,

num, excelsamque Proserpinam, simulq; polysyllaba quędam nomina barbara atque ignota commiscet. Statim ergo tremere omnia, rimas ex carmine solum ducere, ac procul Cerberi latratus audiri, & jam res planè tristis fuit ac mœsta. Vmbrarum at timuit ex imis sedibus Orcus. Ac protinus quidem inferorum patebant pleraque, lacus, Pyriphlegethon, ac Plutonis regia. Tum per illum descendentes hiatum, Rhadamanthum propemodum metu reperimus extinctum. At Cerberus primum quidem latrabat, commovitque sese. At cùm ego lyram celerrimè correptam pulsassem, cantu statim sopitus, obdormivit: deinde posteaquam ad lacum venimus, tranare ferè non licuit. Iam enim onustum erat navigium, & ejulatu certè plenum. Vulnerati quippe in eo navigabant omnes, hic femur, ille caput, alius alio quopiam membro luxatus, usque adeo, ut multi certè ex bello quopiam adesse viderentur. At optimus Charon, cùm leonis videret exuvias, esse me ratus Herculem, recepit, transque vexit libens, cum exeuntibus quoque nobis monstravit semitam. Sed quoniam jam eramus in tenebris, praecedit quidem Mitrobarzanes, ego autem à tergo continuus illi comes adhæreo, quoad in pratum maximum pervenimus asphodelo consitum, ubi certe circumfusæ undique mortuorum stridulæ nos sequuntur um-

περιϊόντες, παρεγινόμεθα πρὸς τὸ τοῦ Μί
δικαστήριον. ἐτύγχανε δὲ ὁ μὲν ἐπὶ θρόνου τ
νὸς ὑψηλοῦ καθήμενος, παρειστήκεισαν
αὐτῷ ποιναὶ καὶ ἀλάστορες, καὶ ἐριννύες. ἑτ
ρωθεν δὲ προσήγοντο πολλοί τινες ἐφεξῆς ἁ
λύσει μακρᾷ δεδεμένοι· ἐλέγοντο δὲ εἶναι μο
χοὶ καὶ πορνοβοσκοὶ καὶ τελῶναι, καὶ κόλακες
συκοφάνται καὶ τοιοῦτος ὅμιλος τῶν πάντα κυ
κώντων ἐν τῷ βίῳ, χωρὶς δὲ οἵ τε πλούσιοι
τοκογλύφοι προσῄεσαν, ὠχροὶ, καὶ προγάσ
ρες, καὶ ποδαγροὶ, κλοιὸν ἕκαστος αὐτῶν καὶ κ
ρακα διτάλαντον ἐπικείμενος. ἐφεστῶτες
ἡμεῖς ἑωρῶμέν τε τα γιγνόμενα, καὶ ἠκούομ
τῶν ἀπολογουμένων· κατηγόρουν δὲ αὐτῶν καιν
τινες καὶ παράδοξοι ῥήτορες. Φιλ. Τίνες οὗτ
πρὸς Διός; μὴ γὰρ ὀκνήσῃς καὶ τοῦτο εἰπεῖ
Μέν. Οἶσθά που ταυτασὶ τὰς πρὸς τὸν ἥλι
ἀποτελουμένας σκιὰς ἀπὸ τῶν σωμάτω
Φι. Πάνυ μὲν οὖν. Μέν. Αὗται τίνυν ἐπειδὰ
ἀποθάνωμεν κατηγοροῦσί τε, καὶ καταμαρ
τυροῦσι καὶ διελέγχουσι τὰ πεπραγμέν
ἡμῖν παρὰ τὸν βίον, καὶ σφόδρα τινὲς αὐτῶ
ἀξιόπιστοι δοκοῦσιν, ἅτε ἀεὶ συνοῦσαι, κα
μηδέποτε ἀφιστάμεναι τῶν σωμάτων. ὁ δ'
οὖν Μίνως ἐπιμελῶς ἐξετάζων ἀπέπεμ
πεν ἕκαστον ἐς τὸν τῶν ἀσεβῶν χῶρον, δίκη
ὑφέξοντα κατ' ἀξίαν τῶν τετολμημένων, κ
μάλιστα ἐκείνων ἥπτετο τῶν ἐπὶ πλούτοι

bre. Tum paulò procedentes longius, ad ipsum Minois tribunal accessimus. Erat ipse quidem in solio sorte quodam sublimi sedens. Astabant autem illi Pœnæ, mali Genii, Furiæ. Ex altera parte plurimi quidam adducti sunt ex ordine longo fune vincti. Dicebantur autem adulteri, lenones, publicani, adulatores, sycophantæ, ac talis hominum turba quodvis in vita patrantium. Seorsim autem divites ac fœneratores prodibant, pallidis, ventricosi ac podagrici, duorum quisque vinctus erat, ferri pondere duorum talentorum imposito. Nos igitur astantes, & quæ fiunt omnia conspicimus, & quæ pro defensione dicuntur, auscultamus. Accusant autem novi quidam atque admirabiles Rhetores. PHILON. Quinam ergo hi, per Ionem, sunt, ac ne istuc quidem te pigeat dicere. MEN. Umbras ne unquam istas nosti, quas opposita soli reddant corpora? PH. Omnino quidem igitur. MEN. Hæ nos igitur cum primum functi vita sumus, accusant, testantur, atque redarguunt, quicquid in vita peccavimus, sanè quædam ex his digne admodum fide videntur, utpotè nobiscum versatæ semper nostrisque nusquam digressæ corporibus. Minos igitur curiosè quemlibet examinans, impiorum relegabat in cœtum, pœnas ibi sceleribus suis dignas luiturum. In hos præcipue tamen incenditur,

τε καὶ ἀρχαῖς τετυφωμένων, καὶ μονονουχὶ καὶ προσκυνεῖσθαι περιμενόντων τήν τε ὀλιγοχρόνιον ἀλαζονείαν αὐτῶν, καὶ τὴν ὑπερηφανίαν μυσαττόμενος, καὶ ὅτι μὴ ἐμεμνήντο θνητοί τε ὄντες αὐτοὶ, καὶ θνητῶν ἀγαθῶν τετυχηκότες. οἱ δὲ ἀποδυσάμενοι τὰ λαμπρὰ ἐκεῖνα πάντα, πλούτους λέγω καὶ γένη, καὶ δυναστείας, γυμνοὶ κάτω νενευκότες, παρειστήκεσαν. ὥσπερ τινὰ ὄνειρον ἀναπεμπαζόμενοι τὴν παρ' ἡμῖν εὐδαιμονίαν, ὥστε ἔγωγε ταῦθ' ὁρῶν, ὑπερέχαιρον. καὶ εἴ τινα γνωρίσαιμι αὐτῶν, προσιὼν ἂν ἡσυχῆ πως ὑπεμίμνησκον, οἷος ἦν παρὰ τὸν βίον, καὶ ἡλίκον ἐφύσα τότε, ἡνίκα πολλοὶ μὲν ἕωθεν ἐπὶ τῶν προθύρων παρειστήκεισαν, τὴν πρόοδον αὐτοῦ περιμένοντες, ὠθούμενοί τε καὶ ἀποκλειόμενοι πρὸς τῶν οἰκετῶν. ὁ δὲ μόλις ἄν ποτε ἀνατείλας αὐτοῖς πορφυροῦς τις, ἢ περίχρυσος ἢ διαποίκιλος, εὐδαίμονας ᾤετο καὶ μακαρίους ἀποφαίνειν τοὺς προσειπόντας, ἢν τὸ στῆθος ἢ τὴν δεξιὰν προτείνων δοίη καταφιλεῖν, ἐκεῖνοι μὲν οὖν ἠνιῶντο ἀκούοντες. τῷ δὲ Μίνωϊ μία τις καὶ πρὸς χάριν ἐδικάσθη δίκη. τὸν γάρ τοι σικελιώτην Διονύσιον, πολλὰ καὶ ἀνόσια ὑπό τε Δίωνος κατηγορηθέντα, καὶ ὑπὸ τῆς στοᾶς καταμαρτυρηθέντα παρελθὼν Ἀρίστιππος ὁ κυρηναῖος (ἄγουσι δ' αὐτὸν ἐν τιμῇ, καὶ δύναται) μέγιστον ἐν τοῖς κάτω) μικροῦ δεῖν τῇ χιμαίρᾳ προσ-

δεθέντα

tur, quos opes dum viverent, ac dignitates inflaverant, quippe adorari se fere expectabant, nimirum brevi perituram eorum superbiam fastumque detestatus, quippe qui non meminissent mortales ipsi cùm sint, sese bona quoque mortalia consequutos. At nunc splendida illa exuti omnia, divitias, inquam, genus, munia, nudi ac vultu demisso steterant, tanquam somnium quoddam, humanam hanc felicitatem recogitantes, adeò ut hec dum conspicarer nimis quàm delectatus fuerim. Et si quem eorum fortè agnoveram, accedens quiete aliquo modo submonui, qualis in vita fuerat, quantopereque fuerat inflatus, tum cùm plurimi mane fores ejus obsidentes, pulsi interim exclusique à famulis, illius expectabant egressum. At ipse vix tandem illis exoriens, puniceus, aureus, aut versicolor, fœlices ac beatos se facturum salutantes putabat, si pectus dexteramve porrigens, permitteret osculandum. Illi verè audientes ista moleste ferebant. At Minos quiddam etiam judicavit in gratiam. Quippe Dionysium Siciliæ tyrannum multis, & atrocibus criminibus, & à Dione accusatum, & gravi Stoicorum testimonio convictum, Cyrenæus Aristippus interveniens (nam illum valdè suspiciunt inferi, ejusque plurimum ibi valet authoritas) ferme jam Chimeræ alligatum

ληθέντα, παρέλυσε τῆς καταδίκης, λέγων πολλοῖς αὐτὸν τῶν πεπαιδευμένων πρὸς ἀργύριον γενέσθαι δεξιόν. ἀποστάντες δὲ ὅμως τοῦ δικαστηρίου πρὸς τὸ κολαστήριον ἀφικνούμεθα. ἔνθα δὴ ὦ φίλε πολλὰ καὶ ἐλεεινὰ ἦν ἀκοῦσαί τε καὶ ἰδεῖν. μαστίγων τε γὰρ ὁμοῦ ψόφος ἠκούετο καὶ οἰμωγὴ τῶν ἐπὶ τοῦ πυρὸς ὀπτωμένων καὶ στρέβλαι, καὶ κύφωνες, καὶ τροχοί, καὶ χίμαιρα ἐσπάραττε, καὶ ὁ Κέρβερος ἐδάρδαπτε, ἐκολάζοντό τε ἅμα πάντες, βασιλεῖς, δοῦλοι, σατράπαι, πένητες, πλούσιοι, πτωχοί, καὶ μετέμελε πᾶσι τῶν τετολμημένων. ἐνίους δὲ αὐτῶν καὶ ἐγνωρίσαμεν ἰδόντες, ὁπόσοι ἦσαν τῶν ἔναγχος τετελευτηκότων. οἱ δὲ ἐνεκαλύπτοντο καὶ ἀπεστρέφοντο. εἰ δὲ καὶ προσβλέποιεν, μάλα δουλοπρεπές τι καὶ κολακευτικόν. καὶ ταῦτα, πῶς οἴει, βαρεῖς ὄντες, καὶ ὑπερόπται παρὰ τὸν βίον. τοῖς μέν τοι πένησιν ἡμιτέλεια τῶν κακῶν ἐδέδοτο, καὶ διαναπαυόμενοι πάλιν ἐκολάζοντο. καὶ μὴν κἀκεῖνα εἶδον τὰ μυθώδη, τὸν Ἰξίονα, καὶ τὸν Σίσυφον, καὶ τὸν Φρύγα Τάνταλον χαλεπῶς ἔχοντα, καὶ τὸν γηγενῆ Τιτυόν. Ἡράκλεις ὅσος· ἔκειτο γὰρ τόπον ἐπέχων ἀγροῦ. διελθόντες δὲ καὶ τούτους, ἐς τὸ πεδίον ἐσβάλλομεν τὸ Ἀχερούσιον, εὑρίσκομέν τε αὐτόθι τοὺς ἡμιθέους τε καὶ τὰς ἡρωΐνας, καὶ τὸν ἄλλον ὅμιλον τῶν νεκρῶν κατὰ ἔθνη καὶ φῦλα διαιτωμένους, τοὺς μὲν παλαιούς τινας καὶ εὐρωπιῶντας, καὶ ὥς φησιν

Ὅμηρος

ligatum absolvit à pœna, asserens illum eruditorum nonnullos olim juvisse pecunia. Tum nos à tribunali descendentes, ad supplicii locum pervenimus. Vbi amice, multa & miseranda audire simul, ac spectare licuit. Nam simul ac flagrorum sonus auditur, & ejulatus hominum in igne flagrantium, tum rotæ & tormenta, catenæ, Cerberus lacerat, & Chimera dilaniat, cruciebanturque pariter omnes captivi reges, præfecti, pauperes, mendici, divites, & jam scelerum omnes pœnitebat. Et quosdam quidem eorum, dum intuemur, agnovimus, videlicet qui nuper è vita discesserant. At hi pudentes sese tum occulebant, nostroque subtrahebant aspectui, aut si nos aliquando respiciebant, id serviliter admodum abjecteque faciebant: atque hi quidem quàm olim putas, excrosi fastuosique in vita? At pauperibus malorum dimidium remittebatur, & cum interquievissent, denuò repetebantur ad pœnam. Sed illa quoque quæ fabulis feruntur, aspexi, Ixionem, Sisyphum, Phrygiumque graviter affectum Tantalum, genitumque terra Titium, Dii boni, quantum? integrum stratus agrum occupabat. Hos tandem prætereuntes, in campum venimus Acherusium, invenimusque ibi semideos, heroinasque & aliam simul mortuorum turbam, in gentes tribusque dispositam, alios quidem vetulos quosdam ac marcidos,

Ὅμηρος, ἀμενηνούς, τοὺς δὲ νεαλεῖς καὶ συνεστηκότας, καὶ μάλιστα τοὺς Αἰγυπτίων αὐτῶν, διὰ τὸ πολυαρκὲς τῆς ταριχείας. τὸ μέντοι διαγινώσκειν ἕκαστον, οὐ πάνυ τι ἦν ῥᾴδιον. ἅπαντες γὰρ ἀτεχνῶς ἀλλήλοις γίνονται ὅμοιοι. τῶν ὀστέων γεγυμνωμένων, πλὴν μόγις καὶ διὰ πολλοῦ ἀναθεωροῦντες αὐτοὺς ἐγινώσκομεν. ἔκειντο δ' ἐπ' ἀλλήλοις ἀμαυροὶ καὶ ἄσημοι, καὶ οὐδὲν ἔτι τῶν παρ' ἡμῖν καλῶν φυλάττοντες. ὥστε πολλῶν ἐν ταὐτῷ σκελετῶν κειμένων, καὶ πάντων ὁμοίων, φοβερόν τι καὶ διάκενον δεδορκότων, καὶ γυμνοὺς τοὺς ὀδόντας προφαινόντων, ἠπόρουν πρὸς ἐμαυτόν, ᾧ τινι διακείναιμι τὸν Θερσίτην ἀπὸ τοῦ καλοῦ Νιρέως, ἢ τὸν μεταίτην Ἶρον ἀπὸ τοῦ Φαιάκων βασιλέως, ἢ Πυῤῥίαν τὸν μάγειρον ἀπὸ τοῦ Ἀγαμέμνονος. οὐδὲν γὰρ ἔτι τῶν παλαιῶν γνωρισμάτων αὐτοῖς παρέμενεν, ἀλλ' ὅμοια τὰ ὀστᾶ ἦν, ἄδηλα, ἀνεπίγραφα, καὶ ὑπ' οὐδενὸς ἔτι διακείνεσθαι δυνάμενα. τοιγάρτοι ἐκεῖνα ὁρῶντι, ἐδόκει μοι ὁ τῶν ἀνθρώπων βίος πομπῇ τινι μακρᾷ προσεοικέναι, χορηγεῖν δὲ καὶ διατάττειν ἕκαστα ἡ τύχη, διάφορα καὶ ποικίλα τοῖς πομπευταῖς σχήματα προσάπτουσα. τὸν μὲν γὰρ λαβοῦσα ἡ τύχη, βασιλικῶς διεσκεύασε, τιάραν τε ἐπιθεῖσα, καὶ δορυφόρους παραδοῦσα, καὶ τὴν κεφαλὴν στέψασα τῷ διαδήματι. τῷ δὲ οἰκέτου σχῆμα περιέθηκε, τὸν δέ τινα καλὸν εἶναι ἐκόσμησε, τὸν δὲ ἄμορφον καὶ γελοῖον παρεσκεύασε. παντο-

δαπὴν

cidos, atque (ut Homerus ait) evanidos, alios vero juveniles, & integros & hoc potissimùm ob illam condiendi efficaciam Aegyptios. Verum dignoscere quemlibet haud proclive fuit, adeo nudatis ossibus omnes erant invicem simillimi, nisi quod vix tandem eos diu intendentes agnovimus. Quippe conferti considebant obscuri atque ignobiles, nullumque servantes amplius pristinæ formæ vestigium. Cùm igitur multi simul ossei consisterent, invicem omninò similes, qui terrificum quiddam per cavos oculorum orbes transpicerent dentesque nudos ostenderent, hæsitabam certe mecum, quonam signo Thersitem a Nireo illo formoso discernerem, aut mendicum Irum à Phæacum rege, aut Pyrrhiam coquum ab Agamemnone. Nihil enim amplius veterum indiciorum eis permansit, sed ossa fuerunt inter se similia, incognibilia, nullis inscripta titulis, nullique unquam dignoscenda. Hæc igitur spectanti mihi, persimilis hominum vita pompæ cuipiam longæ videbatur cui præsit ac disponat queque fortuna, ex his qui pompam agunt, diversos variosque cuique habitus accommodans. Alium siquidem fortuna diligens, regiis ornat insignibus, & tiaram imponens, & satellites addens, & caput diademate coronans. Alium servi rursus ornatum induit, hunc formosum effigiat, hunc deformem atque deridiculum fingit, nam omnigenum, opinor, debet esse spectalum

διαπλὴν γὰρ οἶμαι δεῖν χρῆσθαι τὴν θέαν. πολλά-
κις δὲ διὰ μέσης τῆς πομπῆς μετέβαλε τὰ ἐνί-
ων σχήματα, οὐκ ἐῶσα ἐς τέλος διαπομπεῦ-
σαι, ὡς ἐτάχθησαν, ἀλλὰ μεταμφιέσασα, τὸν
μὲν Κροῖσον ἠνάγκασε τὴν τοῦ οἰκέτου καὶ αἰ-
χμαλώτου σκευὴν ἀναλαβεῖν, τὸν δὲ Μαιάν-
δριον, τέως ἐν τοῖς οἰκέταις πομπεύοντα, τὴν
Πολυκράτους τυραννίδα μετενέδυσε, καὶ
μέχρι μέν τινος εἴασε χρῆσθαι τῷ σχήματι·
ἐπειδὰν δ' ὁ τῆς πομπῆς καιρὸς παρέλθῃ, τη-
νικαῦτα ἕκαστος ἀποδοὺς τὴν σκευὴν, καὶ
ἀποδυσάμενος τὸ σχῆμα μετὰ τοῦ σώμα-
τος, ὥσπερ ἦν πρὸ τοῦ, γίνεται, μηδὲν τοῦ
πλησίου διαφέρων. ἔνιοι δ' ὑπ' ἀγνωμο-
σύνης, ἐπειδὰν ἀπαιτῇ τὸν κόσμον ἐπιστᾶσα ἡ
τύχη, ἄχθονταί γε, καὶ ἀγανακτοῦσιν, ὥσπερ
οἰκείων τινῶν στερισκόμενοι, καὶ οὐχ ἃ πρὸς
ὀλίγον ἐχρήσαντο ἀποδιδόντες. οἶμαι δὲ καὶ
τῆς σκηνῆς πολλάκις ἑωρακέναι τοὺς τραγι-
κοὺς ὑποκριτὰς τούτους πρὸς τὰς χρείας τῶν
δραμάτων, ἄρτι μὲν Κρέοντας, ἐνίοτε δὲ
Πριάμους γινομένους, ἢ Ἀγαμέμνονας. καὶ ὁ
αὐτὸς, εἰ τύχοι, μικρὸν ἔμπροσθεν μάλα
σεμνῶς, τὸ τοῦ Κέκροπος ἢ Ἐρεχθέως σχῆμα
μιμησάμενος, μετ' ὀλίγον οἰκέτης προῆλ-
θεν ὑπὸ τοῦ ποιητοῦ κεκελευσμένος, ἤδη δὲ πέ-
ρας ἔχοντος τοῦ δράματος, ἀποδυσάμενος ἕ-
καστος αὐτῶν τὴν χρυσόπαστον ἐκείνην ἐσθῆτα,
καὶ τὸ προσωπεῖον ἀποθέμενος, καὶ καταβὰς
ἀπὸ τῶν ἐμβατῶν, πένης καὶ ταπεινὸς περιέρχε-
ται

lum. Quin habitus quorundam plerumque in media quoque pompa demutat, neque perpetuo eodem sinit ordine cultuque progredi, quo prodierant, sed ornatu commutato, Crœsum quidem coëgit servi captivique vestes induere, Mæandrium autem antè inter servos incedentem, Polycratis tyrannide ornat. Et aliquantisper quidem eo cultu permittit uti, verum ubi jam pompæ tempus præteriit apparatum quisque restituens, & cum corpore simul exutus amictu, qualis ante fuit, efficitur, nihilo à vicino differens. Quidam tamen ob inscitiam, cum suos fortuna cultus exigit, ægrè ferunt atque indignantur, tanquam propriis quibusdam bonis privati, ac non potius alienis, quibus paulisper utebantur, exuti. Quin in scena quoque vidisse te plerumque puto histriones istos tragicos, qui (ut fabulæ ratio poscit) modò Creontes, modò Priami fiunt, aut Agamemnones. Idemque (si sors tulerit) paulò antè tam graviter Cecropis aut Erechthei formam imitatus, paulò pòst servus, poëta jubente, progreditur. At cum fabulæ jam finis affuerit, quisque curat ut illas vestes exutus, personam deponens, & descendens à crepidis, pauper atque humilis obambulat, haud

ται, οὐκ ἔτ᾽ Ἀγαμέμνων ὁ Ἀτρέως, οὐδὲ Κρέων ὁ Μενοικέως, ἀλλὰ Πῶλος Χαρικλέους Σουνιεὺς ὀνομαζόμενος, ἢ Σάτυρος ὁ Θεογείτονος Μαραθώνιος. τοιαῦτα καὶ τὰ τῶν ἀνθρώπων πράγματα ἐστὶν, οἷς τότε μοι ὁρῶντι ἔδοξεν. ΦΙΛ. Εἰπέ μοι ὦ Μένιππε, οἱ δὲ τοὺς πολυτελεῖς τούτους καὶ ὑψηλοὺς τάφους ἔχοντες ὑπὲρ γῆς, καὶ στήλας, καὶ εἰκόνας, καὶ ἐπιγράμματα οὐδὲν τιμιώτεροι παρ᾽ αὐτοῖς εἰσι τῶν ἰδιωτῶν νεκρῶν; ΜΕΝ. Ληρεῖς ὦ οὗτος. εἰ γοῦν ἐθεάσω τὸν Μαύσωλον αὐτὸν, λέγω δὲ τὸν Κᾶρα τὸν ἐκ τοῦ τάφου περιβόητον, εὖ οἶδα, ὅτι οὐκ ἂν ἐπαύσω γελῶν, οὕτω ταπεινῶς ἔρριπτο ἐν παραβύστῳ που, λανθάνων ἐν τῷ λοιπῷ δήμῳ τῶν νεκρῶν. ἐμοὶ δοκεῖν, τοσοῦτον ἀπολαύων τοῦ μνήματος, παρ᾽ ὅσον ἐβαρύνετο τηλικοῦτον ἄχθος ἐπικείμενος. ἐπειδὰν γὰρ ὦ ἑταῖρε ὁ Αἰακὸς ἀπομετρήσῃ ἑκάστῳ τὸν τόπον, δίδωσι δὲ τὸ μέγιστον οὐ πλέον ποδὸς, ἀνάγκη ἀγαπῶντα κατακεῖσθαι, πρὸς μέτρον συνεσταλμένον. πολλῷ δ᾽ ἂν, οἶμαι, μᾶλλον ἐγέλασας, εἰ ἐθεάσω τοὺς παρ᾽ ἡμῖν βασιλέας καὶ σατράπας, πτωχεύοντας παρ᾽ αὐτοῖς, καὶ ἤτοι ταριχοπωλοῦντας ὑπ᾽ ἀπορίας, ἢ τὰ πρῶτα διδάσκοντας γράμματα, καὶ ὑπὸ τοῦ τυχόντος ὑβριζομένους, καὶ κόρρης παιομένους, ὥσπερ τῶν ἀνδραπόδων τὰ ἀτιμότατα. Φίλιππον γοῦν τὸν Μακεδόνα ἐγὼ θεασάμενος, οὐδὲ κρατεῖν ἐμαυ-

τοῦ

haud amplius Agamemnon ille Atreo prognatus, aut Creon Menœcei filius Chariclei Suniensis, aut Satyrus filius Theogitonis Marathonius. Sic se mortalium res habent, quemadmodum mihi tum spectanti videbatur. PHILONID. *Dic mihi Menippe, isti qui magnificos aliosque tumulos habent super terram, & columnas, imagines, titulos nihilone sunt apud inferos plebeis quibuslibet umbris honoratiores?* MENIPP. *Nugaris tu quidem. Nam si vidisses Mausolum, Carem illum dico, Pyramide celebrem, sat scio, nunquam ridere desiisses, ita in antrum quoddam abstrusum despectim abjectus est in reliqua mortuorum turba delitescens. Hoc tantum commodi mihi videtur ex monumento referre, quod imposito tanto pondere laborat magis, & premitur. Nam cùm Æacus, ô amice, locum cuique metitur (dat autem cui plurimum haud amplius pedem) necesse est contentum decumbere, sesque ad loci modum contrahere. At vehementius multò risisses, opinor si reges hosce nostros satrapasque vidisses apud eos mendicantes, & aut salsamenta vendentes, aut primas ipsas literas urgente inopia profitentes, & quemadmodum contumeliis à quovis afficiantur, atque in faciem cædantur, perinde atque vilissima mancipia. Itaque Philippum Macedonem conspicatus, continere me certe non*

τοῦ δυνατοῦ ἦν. ἐδείχθη δέ μοι ἐν γωνιδίῳ τινὶ, μισθοῦ ἀκούμενος τὰ σαθρὰ τῶν ὑποδημάτων. πολλοὺς δὲ καὶ ἄλλους ἦν ἰδεῖν ἐν ταῖς τριόδοις μεταιτοῦντας. Ξέρξας λέγω, καὶ Δαρείους, καὶ Πολυκράτας. Φιλ. Ἄτοπα διηγῇ τὰ περὶ τῶν βασιλέων, καὶ μικροῦ δεῖν ἄπιστα. τί δὲ ὁ Σωκράτης ἔπραττε, καὶ Διογένης, καὶ εἴ τις ἄλλος τῶν σοφῶν; Μέν. Ὁ μὲν Σωκράτης κἀκεῖ περιέρχεται διελέγχων ἅπαντας, σύνεστι δ' αὐτῷ Παλαμήδης καὶ Ὀδυσσεὺς καὶ Νέστωρ, καὶ εἴ τις ἄλλος λάλος νεκρός. ἔτι μέν τοι ἐπεφύσητο αὐτῷ καὶ διῳδήκει ἐκ τῆς φαρμακοποσίας τὰ σκέλη. ὁ δὲ βέλτιστος Διογένης παροικεῖ μὲν Σαρδαναπάλῳ τῷ Ἀσσυρίῳ, καὶ Μίδᾳ τῷ Φρυγὶ, καὶ ἄλλοις τισὶ τῶν πολυτελῶν. ἀκούων δὲ οἰμωζόντων αὐτῶν, καὶ τὴν παλαιὰν τύχην ἀναμετρουμένων, γελᾷ τε, καὶ τέρπεται καὶ τὰ πολλὰ ὕπτιος κατακείμενος, ᾄδει μάλα τραχείᾳ καὶ ἀπηνεῖ τῇ φωνῇ, τὰς οἰμωγὰς αὐτῶν ἐπικαλύπτων, ὥστε ἀνιᾶσθαι τοὺς ἄνδρας καὶ διασκέπτεσθαι μετοικεῖν, οὐ φέροντας τὸν Διογένην. Φ. Ταυτὶ μὲν ἱκανῶς. τί δὲ τὸ ψήφισμα ἦν, ὅπερ ἐν ἀρχῇ ἔλεγες κεκυρῶσθαι κατὰ τῶν πλουσίων; Μ. Εὖ γε ὑπέμνησας. οὐ γὰρ οἶδ' ὅπως περὶ τούτου λέγειν προθέμενος, παμπολὺ ἀπεπλανήθην τοῦ λόγου, διατρίβοντος γάρ μου παρ' αὐτοῖς, προὔθεσαν οἱ πρυτάνεις ἐκκλησίαν περὶ τῶν κοινῇ συμφερόντων. ἰδὼν οὖν πολλοὺς συνθέοντας,

ἀναμίξας

potui: ostensus est mihi in angulo quo-
m: detritos calceos mercede resarciens.
in alios prӕterea multos erat videre men-
antes in triviis, Xerxes videlicet, Darius,
Polycrates. PHILON. Admiranda narras
de regibus, peneque incredibilia. Socra-
autem quid facit ac Diogenes, & si quis est
rens alius? ME. Socrates profectò etiam ibi
versatur, omnesque redarguit, versantur
tem cum illo Palamedes, & Ulysses & Ne-
r, & si quis alius loquax mortuus. Adhuc
uidem inflata sunt illi, & intumescunt ex-
usto veneno crura. At optimus Diogenes
rdanapalo vicinus Assyrio, Medaque Phrygio,
que aliis item pluribus ex istorum sumptuo-
rum numero manet, quos cum ejulantes au-
, veteris fortunӕ magnitudinem recogitan-
s, ridet & delectatur, ac supinus cubans
plurimum cantat, aspera nimis atque inju-
nda voce illorum ejulatus obscurans, adeo ut
ægrè ferentes, nec Diogenem ferre valentes,
mutanda sede deliberent. PHIL. De his
m satis quidem, cӕterum quod nam illud de-
etum est, quod initio dixeras adversus divi-
s esse sancitum? MEN. Benè admones, nè-
io enim quo pacto, cùm hac de re dicere pro-
suissem, ab instituto sermone procul aberra-
. Dum igitur ibi versabar, magistratus con-
onem advocaverunt his videlicet de rebus,
e in commune conducerent. Conspiciens
ergo

ἀναμίξας ἐμαυτὸν τοῖς νεκροῖς, εὐθὺς εἷς καὶ αὐτὸς ἦν τῶν ἐκκλησιαστῶν. διῳκήθη μὲν οὖν καὶ ἄλλα, τελευταῖον δὲ τὸ περὶ τῶν πλουσίων. ἐπεὶ γὰρ αὐτῶν κατηγόρητο πολλὰ καὶ δεινά, βία καὶ ἀλαζονεία, καὶ ὑπεροψία καὶ ἀδικία, τέλος ἀναστάς τις τῶν δημαγωγῶν ἀνέγνω ψήφισμα τοιοῦτο.

ΨΗΦΙΣΜΑ.

Ἐπειδὴ πολλὰ καὶ παράνομα οἱ πλούσιοι δρῶσι παρὰ τὸν βίον, ἁρπάζοντες καὶ βιαζόμενοι, καὶ πάντα τρόπον τῶν πενήτων καταφρονοῦντες, δέδοκται τῇ βουλῇ καὶ τῷ δήμῳ, ἐπειδὰν ἀποθάνωσι, τὰ μὲν σώματα αὐτῶν κολάζεσθαι, καθάπερ καὶ τὰ τῶν ἄλλων πονηρῶν, τὰς δὲ ψυχὰς ἀναπεμφθείσας ἄνω ἐς τὸν βίον, καταλύεσθαι ἐς τοὺς ὄνους, ἄχρις ἂν ἐν τῷ τοιούτῳ διαγάγωσι μυριάδας ἐτῶν πέντε καὶ εἴκοσιν, ὄνοι ἐξ ὄνων γιγνόμενοι, καὶ ἀχθοφοροῦντες, καὶ ὑπὸ τῶν πενήτων ἐλαυνόμενοι τοὐντεῦθεν δὲ λοιπὸν ἐξεῖναι αὐτοῖς ἀποθανεῖν. εἶπε τὴν γνώμην Κρανίων Σκελετίωνος, Νεκυσιεύς, φυλῆς Ἀλιβαντιάδος. τούτου ἀναγνωσθέντος τοῦ ψηφίσματος, ἐπεψήφισαν μὲν αἱ ἀρχαί, ἐπεχειροτόνησε δὲ τὸ πλῆθος, καὶ ἐνεβριμήσατο ἡ Βριμώ, καὶ ὑλάκτησεν ὁ Κέρβερος· οὕτω γὰρ ἐντελῆ γίγνεται, καὶ κύρια, τὰ ἀνεγνωσμένα. ταῦτα μὲν δή σοι τὰ ἐν ἐκκλησίᾳ,

ἐγὼ

...ys multos concurrere, commiſcens meipſum ...rtuis, ſtatim & ipſe unus eram de numero ...rum, qui in concione adderant. Agitata ſunt ...itur & alia multa: poſtremo vero de divi...bus negotium. In quos poſteaquam plurima ...ſſent objecta, violentia, ſuperbia, faſtus, ...iuriæ, aſſurgens tandem ex populo primas ...idam hujuſmodi decretum legit.

DECRETUM.

QUONIAM, inquit, multa divites perpetrant in vita, rapientes ac vim inferentes, inopeſque omni modo deſpectui habentes, viſum eſt Senatui populoque, ut cum functi ...ita fuerint, corpora quidem eorum pœnas ...m aliis ſceleratorum corporibus luant, ani...æ verò ſurſum remiſſæ in vitam, in aſinos ...migrent, donec in tali rerum ſtatu quin...ies ac vicies decem annorum millia tranſe...int, aſini ſemper ex aſinis renati, onera fe...ntes, atque à pauperibus agitati: deinde ut ...at illis è vita excedere. Hanc ſententiam ...ixit Calvarius patre Aridello, patria Mani...nſis, tribu Alibantiade. Hoc recitato decre..., approbaverunt principes, ſcivit plebs, ...ſſremuit Proſerpina, allatravit Cerberus. ...c enim rata, quæ inferi ſtatuunt, authenti...que ſunt. Quæ igitur in concione agebantur, erant hujuſmodi. Tum ego ſtatim, cujus

ἐγὼ δ᾽ οὗπερ ἀφίγμην ἕνεκα, τῷ Τειρεσίᾳ προσελθὼν, ἱκέτευον αὐτὸν τὰ πάντα διηγησάμενος, εἰπεῖν πρός με, ποῖόν τινα ἡγεῖται τ᾽ ἄριστον βίον. ὁ δὲ γελάσας, ἔστι δὲ τυφλόν τι γερόντιον καὶ ὠχρὸν, καὶ λεπτόφωνον, ὦ τέκνον φησὶ, τὴν μὲν αἰτίαν οἶδά σου τῆς ἀπορίας ὅτι παρὰ τῶν σοφῶν ἐγένετο, οὐ ταὐτὰ γινωσκόντων ἑαυτοῖς. ἀτὰρ οὐ θέμις λέγειν πρός σε, ἀπείρηται γὰρ ὑπὸ τοῦ Ῥαδαμάνθυος. μηδαμῶς, ἔφην, ὦ πατέριον, ἀλλ᾽ εἰπὲ, καὶ μὴ περιίδῃς με σοῦ τυφλότερον περιιόντα ἐν τῷ βίῳ. ὁ δὲ, δή με ἀπαγαγὼν, καὶ πολὺ τῶν ἄλλων ἀποσπάσας, ἠρέμα προσκύψας πρὸς τὸ οὖς φησὶν, ὁ τῶν ἰδιωτῶν ἄριστος βίος καὶ σωφρονέστερος, ὡς τῆς ἀφροσύνης παυσάμενος τοῦ μετεωρολογεῖν, καὶ τέλη καὶ ἀρχὰς ἐπισκοπεῖν, καὶ καταπτύσας τῶν σοφῶν τούτων συλλογισμῶν, καὶ τὰ τοιαῦτα λῆρον ἡγησάμενος τοῦτο μόνον ἐξ ἅπαντος θηράσῃ, ὅπως τὸ παρὸν εὖ θέμενος, παραδράμῃς γελῶν τὰ πολλὰ, καὶ περὶ μηδὲν ἐσπουδακώς. ὡς εἰπὼν, πάλιν ὥρτο κατ᾽ Ἀσφοδελὸν λειμῶνα, ἐγὼ δὲ, καὶ γὰρ ἤδη ὀψὲ ἦν, ἄγε δὴ ὦ Μιθροβαρζάνη, φημὶ, τί διαμέλλομεν, καὶ οὐκ ἄπιμεν αὖθις ἐς τὸν βίον; ὁ δὲ πρὸς ταῦτα, θάρρει, φησὶν ὦ Μένιππε, ταχεῖαν γάρ σοι καὶ ἀπράγμονα ὑποδείξω ἀτραπόν. καὶ δὴ ἀγαγών με πρός τι χωρίον τοῦ ἄλλου ζοφε-

ρώτερ

patia veneram, Tiresiam adeo, atque illi ..., uti erat, ordine narrata, supplicavi, ut mihi diceret, quodnam optimum vitæ genus ...aret. Hic vero subridens (est autem senculus quispiam cæcus, pallidus, voce gracili) fili inquit, caussam tuæ perplexitatis scio ... sapientibus istis profectam, haudquaquam ...dem invicem iisdem de rebus sentientibus, verum haud fas est id tibi proloqui, siquidem Rhadamantibus interdixit. Nequaquam, inquam, ô patercule, sed dic amabo, neque me contemnas, qui in vita etiam ipso cæcior oberro. Abducens ergo me, procul ab aliis auferens, ad aures mihi inclinans, Optima est, inquit, idiotarum privatorumque vita, ac prudentior. Ideo ab insipientia cessans alta cogitandi, & fines & principia inspiciendi, & vafros hosce syllogismos despuens, atque id genus omnia nugas æstimans, hoc solum in tota vita persequere, ut præsentibus bene compositis minime curiosus, nulla re sollicitus, quam plurimum potes, hilaris vitamridensque traducas. Hæc cum dixisset, rursus in asphodelorum pratum sese corripuit. Ego igitur (nam & nunc vesper erat) age, inquam, ô Mithrobarzane, quid cunctamur? ...c non hinc rursus abimus in vitam? Ad hæc ille, Confide, inquit, ô Menippe, brevem quippe facilemq; tibi monstrabo semitam, & me proximus abducens in regionem quandam magis

ρώτερον δείξας τῇ χειρὶ πόρρωθεν ἀμαυ-
ρόν τι καὶ λεπτὸν ὥσπερ διὰ κλειθρίας ἐσρέ-
ον, φῶς ἐκεῖνο, ἔφη, ἐστὶ τὸ ἱερὸν τοῦ Τρο-
φωνίου, κἀκεῖθεν κατάρχονται οἱ ἀπὸ Βοιω-
τίας, ταύτην οὖν ἄνιθι, καὶ εὐθὺς ἔσῃ ἐπὶ
τῆς Ἑλλάδος, ἡσθεὶς δὲ τοῖς εἰρημένοις ἐγὼ,
καὶ τὸν μάγον ἀσπασάμενος, χαλεπῶς μά-
λα διὰ τοῦ στομίου ἀνερπύσας, οὐκ οἶδ' ὅπως
ἐν Λεβαδείᾳ γίγνομαι.

ΧΑΡΩΝ, ἢ ΕΠΙΣΚΟΠΟΥΝΤΕΣ.

ΕΡΜΗΣ.

Τί γελᾷς ὦ Χάρων; ἢ τί τὸ πορθμεῖον
ἀπολιπὼν, δεῦρο ἀνελήλυθας ἐς τὴν
παροῦσαν ἡμέραν, οὐ πάνυ εἰωθὼς ἐπιχω-
ριάζειν τοῖς ἄνω πράγμασι; Χα. Ἐπεθύμη-
σα ὦ Ἑρμῆ, ἰδεῖν ὁποῖά ἐστι τὰ ἐν τῷ βίῳ, καὶ
ἃ πράττουσιν οἱ ἄνθρωποι ἐν αὐτῷ, ἢ τίνων
στερούμενοι, πάντες οἰμώζουσι κατιόντες παρ'
ἡμᾶς. οὐδεὶς γὰρ αὐτῶν ἀδακρυτὶ διέπλευ-
σεν. αἰτησάμενος οὖν παρὰ τοῦ ᾅδου καὶ αὐτὸς
ὥσπερ καὶ ὁ Θετταλὸς ἐκεῖνος νεανίσκος, μίαν
ἡμέραν λιπόνεως γενέσθαι, ἀνελήλυθα ἐς τὸ
φῶς, καί μοι δοκῶ ἐς δέον ἐντετυχηκέναι
σοι. ξεναγήσεις γὰρ εὖ οἶδ' ὅτι με ξυμπεριϊ-
ὼν, καὶ δείξεις ἕκαστα, ὡς ἂν εἰδὼς ἅπαντα.

Ἑρμ.

iore tenebricosam, manu procul ostendens subobscurum tenuéque, ac velut per rimam influens lumen, illud, inquit, Trophonii templum est, atque illac ad inferos è Bœotia descenditur, hac ascendes atque illico eris in Græcia. Ego igitur hoc sermone gavisus, salutato Mago, difficile admodum per angustas antri fauces sursum repens nescio quo pacto in Lebadiam perveni.

CHARON, sive CONTEMPLANTES.

MERCURIUS.

QVid rides, ô Charon? aut quid deserto navigio in hanc lucem advenisti, non admodum assuetus Superûm rebus interesse? CHAR. Cupido me cepit, O Mercuri, videndi, quænam in vita gerantur negotia, & quibus studiis teneamur: tum etiam quibus bonis exuti plorent omnes ubi ad nos descenderint. Neque enim ex ipsis quisquam citra lachrymas trajecit. Quare exemplo illius Thessali adolescentis commeatu à Dite impetrato, ut unũ saltem diem à nave abesse liceret, in lucẽ ascendi ac mihi videor in ipso planè tempore in te incidisse. Nã peregrinus cum sim, sat scio te non gravari, quin obambulando me ducas, singulaq; demonstres, ut qui universa jam habeas comperta. M. Non est

Ἑρμ. Οὐ σχολή μοι, ὦ πορθμεῦ. ἀπέρχομαι γάρ τι διακονησόμενος τῷ ἄνω Διῒ τῶν ἀνθρωπικῶν. ὁ δὲ ὀξύθυμός τέ ἐστι καὶ δέδια μὴ βραδύναντά με, ὅλον ὑμέτερον ἐάσῃ εἶναι, παραδοὺς τῷ ζόφῳ, ἢ ὅπερ τὸν Ἥφαιστον πρώην ἐποίησε, ῥίψῃ κἀμὲ τεταγὼν τοῦ ποδὸς ἀπὸ τοῦ θεσπεσίου βηλοῦ, ὡς ὑποσκάζων, γέλωτα παρέχοιμι καὶ αὐτὸς οἰνοχοῶν. Χ. Περιόψει οὖν με ἄλλως πλανώμενον ὑπὲρ γῆς, καὶ ταῦτα, ἑταῖρος καὶ σύμπλους καὶ συνδιάκτορος ὤν; καὶ μὴν καλῶς εἶχεν, ὦ παῖ Μαίας, ἐκείνων γοῦν σε μεμνῆσθαι, ὅτι μηδεπώποτέ σε ἢ ἀντλεῖν ἐκέλευσα, ἢ πρόσκωπον εἶναι· ἀλλὰ σὺ μὲν ῥέγκεις ἐπὶ τοῦ καταστρώματος ἐκταθεὶς, ὤμους οὕτω καρτεροὺς ἔχων ἢ, εἴ τινα ἄλλον νεκρὸν εὕροις, ἐκείνῳ παρ᾽ ὅλον τὸν πλοῦν διαλέγῃ. ἐγὼ δὲ πρεσβύτης ὢν τὴν δικωπίαν ἐλαύνων, ἐρέττω μόνος. ἀλλὰ πρὸς τοῦ πατρὸς, ὦ φίλτατον Ἑρμῆδιον, μὴ καταλίπῃς με, περιήγησαι δὲ τὰ ἐν τῷ βίῳ ἅπαντα, ὥς τι καὶ ἰδὼν ἐπανέλθοιμι. ὡς ἤν με σὺ ἀφῇς, οὐδὲν τῶν τυφλῶν διοίσω. καθάπερ γὰρ ἐκεῖνοι σφάλλονται ὀλισθαίνοντες ἐν τῷ σκότῳ, οὕτω δὴ κἀγώ σοι πάλιν ἀμβλυώττω πρὸς τὸ φῶς. ἀλλὰ δὸς, ὦ Κυλλήνιε, ἐς ἀεὶ μεμνησομένῳ τὴν χάριν. Ε. Τουτὶ τὸ πρᾶγμα πληγῶν αἴτιον καταστήσεταί μοι. ὁρῶ γοῦν

otium ô portitor. Nã ab eo jam nunc negotium quoddã quod ad mortaliũ statum pertinet, à Iove summo datum, expediturus. Ille autẽ ad iracundiam propensior est, ut plane verear, ne cunctantem me vel totũ vestræ sortis esse permittat, caligini videlicet addictum: vel quemadmodum nuper Vulcanũ, ita & me correpto pede è summo dejiciat cœlo, nimirum quo & ipse pollicatoris munere fungens, claudicando risus moveam. CH. Despicies ergo me temere & indecore in terra oberrantem, præsertim amicus & navigationis socius, tum & nostræ Reip. ex parte legatus? Atqui conveniret, ô Maiæ proles, illorũ te etiamnũ meminisse, quod te vel sentinam exhaurire, vel remum agitare ne unquã quidem jusserim. Quin tu interim, quanquam adeo robustus es humeris, in navigii dorso porrectus stertis, aut si quam forte ex umbris loquacem offenderis, cum inter navigandum perpetuò consabularis. Ego vero quantumvis senex remigium agens duplex solus remigo. At te patrem obsecro ô charissime Merculiole, ne me deseras, sed ut novo aliquo conspectu redeam, indica quænam in vita geruntur. Quod si tu me neglexeris, nihil plane ab ipsis cæcis differre videbor. Vt enim illi lubrico gressu per caligenem titubant, ita rursus ego ad lucem tibi hallucinabor: quin tu hanc mihi das gratiam, ô Cyllenie, perpetuo memori futuro. MER. Hæc profectò res verberum mihi caussa existet, adeo

ἀγαγεῖν ἅπαντας, ὅσοι ἀξιοῦσι ξυντελεῖν εἰς τὸ συνέδριον. τοὺς δὲ ἥκειν, μάρτυρας ἐπαγομένους ἐνωμότους, καὶ ἀποδείξεις τοῦ γένους, τοὐντεῦθεν δὲ, οἱ μὲν, παρίτωσαν καθ' ἕνα, οἱ δὲ, ἐπιγνώμονες ἐξετάζοντες, ἢ θεοὺς εἶναι ἀποφανοῦνται, ἢ καταπέμψουσιν ἐπὶ τὰ σφέτερα ἠρία, καὶ τὰς θήκας, τὰς προγονικάς, ἢν δέ τις ἁλῷ τῶν ἀδοκίμων, καὶ ἅπαξ ὑπὸ τῶν ἐπιγνωμόνων ἐκκριθέντων, ἐπιβαίνων τοῦ οὐρανοῦ, ἐς τὸν τάρταρον ἐμπεσεῖν τοῦτον. ἐργάζεσθαι δὲ τὰ αὐτοῦ ἕκαστον. καὶ μήτε τὴν Ἀθηνᾶν ἰᾶσθαι, μήτε τὸν Ἀσκλήπιον χρησμῳδεῖν, μήτε τὸν Ἀπόλλω τοσαῦτα μόνον ποιεῖν, ἀλλ' ἕν τι ἐπιλεξάμενον, μάντιν, ἢ κιθαρῳδὸν, ἢ ἰατρὸν εἶναι. τοῖς δὲ φιλοσόφοις προειπεῖν, μὴ ἀναπλάττειν καινὰ ὀνόματα, μηδὲ ληρεῖν περὶ ὧν οὐκ ἴσασιν. ὁπόσοι δὲ ἤδη ναῶν ἢ θυσιῶν ἠξιώθησαν, ἐκείνων μὲν καθαιρεθῆναι τὰ ἀγάλματα, ἐντεθῆναι δὲ ἢ Διὸς, ἢ Ἥρας, ἢ Ἀπόλλωνος, ἢ τῶν ἄλλων τινός. ἐκείνοις δὲ τάφον χῶσαι τὴν πόλιν, καὶ στήλην ἐπιστῆσαι ἀντὶ βωμοῦ. ἢν δέ τις παρακούσῃ τοῦ κηρύγματος, καὶ μὴ ἐθελήσῃ ἐπὶ τοὺς ἐπιγνώμονας ἐλθεῖν, ἐρήμην αὐτοῦ καταδιαιτησάτωσαν

roclamato præconio universos in cōcio-
em congreget, quicunque in Deorum
oncilium legitimè admitti postulant.
Veniant autem illi adductis juratis testi-
us, & certis generis indiciis. Deinde illi
n unum locum commeent, verùm arbitri
ccuratè expendentes, aut Deos illos de-
larabunt, aut ad sua sepulchra, & majo-
um tumulos ablegabunt. Si verò qui-
piam ex obscuris & reprobatis compre-
ensus fuerit, & semel ab arbitris con-
emnatus in cœlum ascenderit, ille per
ræceps in tartarum corruat. Præterea
uisque exerceat sua commercia, neque
Minerva rei medicæ intenta sit, neque
Æsculapius dandis oraculis vacet, aut ser-
iat, neque Apollo tanta soli sibi obeun-
a vendicet, sed una re quapiam electa,
ut vatem, aut citharœdum, aut medicum
gat. Porrò Philosophis dicetur, ne no-
a subinde fingendo comminiscantur no-
ina, neque de jis, quorum imperiti sunt,
ugentur. In quorumcunq; autem hono-
m, aut cultum templa, aut sacra consti-
a sunt, illorum imagines subvertantur,
rumque loco aut Jovis, aut Junonis,
t Apollinis, aut alterius cujuspiã eriga-
, illis autem urbs congesta terra sepul-
rū accumulet, & aræ loco statuam repo-
t. Quod si quis præconio dicto audiens

διαιτησάντων. Ζεύς. τοῦτο μὲν ἡμῖν ψήφισμα δικαιότατον ὦ Μῶμε, καὶ ὅτ δοκεῖ, ἀνατεινάτω τὴν χεῖρα. μᾶλ δὲ οὕτω γιγνέσθω, πλείους γὰρ οἶδ' ἔσ ται, οἱ μὴ χειροτονήσοντες. ἀλλὰ ν μὲν ἄπιτε. ὁπόταν δὲ κηρύξῃ ὁ μῆς, ἥκετε, κομίζοντες ἕκαστος αργῆ τὰ γνωρίσματα, καὶ σαφεῖς τ ἀποδείξεις πατρὸς ὄνομα, καὶ μητρ καὶ ὅθεν, καὶ ὅπως θεὸς ἐγένετο, καὶ λὴν, καὶ φράτορας. ὡς ὅστις ἂν μὴ ράσχηται, οὐδὲν μελήσει τοῖς ἐπιγ μοσιν, εἰ νεών τις μέγαν ἐπὶ γῆς χει, καὶ εἰ οἱ ἄνθρωποι θεὸν αὐτὸν ναι νομίζουσιν.

ΤΙΜΩΝ Η

ΜΙΣΑΝΘΡΩΠΟΣ.

Ὦ Ζεῦ φίλιε, καὶ ξένιε, καὶ ἑταιρεῖε, ἐφέστιε, καὶ ἀστεροπητὰ, καὶ ὅρκιε, καὶ φεληγερέτα, καὶ ἐρίγδουπε, καὶ εἴ σε ἄλλο οἱ ἐμβρόντητοι ποιηταὶ καλ καὶ μάλιστα ὅταν ἀπορῶσι πρὸς τὰ τρα. τότε γὰρ αὐτοῖς πολυώνυμος νόμενος ὑπερείδεις τὸ πῖπτον τοῦ μέ καὶ ἀναπληροῖς τὸ κεχηνὸς τοῦ ῥυθμοῦ.

esse noluerit, arbitrorumq; examen & cẽsuram subire recusarit, ille indicta caussa condemnetur. JUP. Justissimum equidem decretum est istud, ô Mome, & qui suffragatur, huic manum protendat. Atqui potius ita fiat. Complures enim novi futuros, qui sua non sunt adjecturi suffragia. Verú in præsens abite. Cæterùm in concionem accersiti à Mercurio, venite adferentes unusquisque cognitiones claras, & manifestas comprobationes, patris & matris nomen, & unde oriundus sit, tum quomodo divinitatẽ adeptus sit, adhæc tribum quoque & curiales. Verum enimverò, qui præsto non fuerit, parum curæ erit arbitris, tametsi ille in terris ingens delubrum habuerit, ac homines eundem Deum esse existimaverint.

TIMON SIVE MISANTHROPOS.

O Jupiter Phili & hospitalis, sodalitie, domestice, fulgurator, jusjurandice, nubicoge, grandistrepe, & si quod aliud tibi cognomen attoniti poëtæ tribuunt, maximè cùm hærent in versu. Nam tum illis multinominis factus, carminis ruinam fulcis, metrique exples hiatum. Ubi

σοὶ νῦν ἡ ἐρισμάραγος ἀστραπὴ, καὶ ἡ βαρύβρομος βροντὴ, καὶ ὁ αἰθαλόεις, καὶ ἀργήεις, καὶ σμερδαλέος κεραυνός; ἅπαντα γὰρ ταῦτα λῆρος ἤδη ἀναπέφηνε, καὶ καπνὸς ποιητικὸς ἀτεχνῶς, ἔξω τοῦ πατάγου τῶν ὀνομάτων. τὸ δὲ ἀοίδιμόν σου, καὶ ἑκηβόλον ὅπλον, καὶ πρόχειρον, οὐκ οἶδ' ὅπως τελέως ἀπέσβη, καὶ ψυχρόν ἐστι, μηδὲ ὀλίγον σπινθῆρα ὀργῆς κατὰ τῶν ἀδικούντων διαφυλάττον. θᾶττον γοῦν τῶν ἐπιορκεῖν τις ἐπιχειρούντων ἕωλον ἐπιθρυαλλίδα φοβηθείη ἂν, τὴν τοῦ πανδαμάτορος κεραυνοῦ φλόγα. οὕτω δαλόν τινα ἐπανατείνασθαι δοκεῖς αὐτοῖς, ὡς πῦρ μὲν ἢ καπνὸν ἀπ' αὐτοῦ μὴ δεδιέναι, μόνον δὲ τοῦτο οἴεσθαι ἀπολαύειν τοῦ τραύματος, ὅτι ἀναπλησθήσονται τῆς ἀσβόλου. ὥστε ἤδη διὰ ταῦτά σοι, καὶ ὁ Σαλμωνεὺς ἀντιβροντᾶν ἐτόλμα, οὐ πάνυ τι ἀπίθανος ὢν πρὸς οὕτω ψυχρὸν τὴν ὀργὴν Δία· θερμουργὸς ἀνὴρ, καὶ μεγαλαυχούμενος, πῶς γὰρ ὅπου γε καθάπερ ὑπὸ μανδραγόρᾳ καθεύδεις; ὃς οὔτε τῶν ἐπιορκούντων ἀκούεις, οὔτε τοὺς ἀδικοῦντας ἐπισκοπεῖς, λημᾷς δὲ καὶ ἀμβλυώττεις πρὸς τὰ γιγνόμενα, καὶ τὰ ὦτα ἐκκεκώφωσαι

tibi nunc magnicrepum fulgur, gravisi remum tonitru? Ubi ardens, candens ac terrificum fulmen? Nam hæc omnia jam palam apparet nugas esse, fumumq; Poëticum, nec omnino quicquam præter nominum strepitum. Sed decantata illa tua arma eminus ferientia, expromptaque nescio quomodo penitus extincta sunt, frigentque, adeò ut ne minimam quidem scintillulam iracundiæ adversus nocentes reliquam obtineant. Itaque citius quivis ex his, qui pejeraturi sunt, extinctũ ellychnium metuerit quàm flammam fulminis cuncta necantis: adeò titionem quempiam incutere videris eis, ut ignem quidem aut fumum ab illo proficiscentem nihil quicquam formident, verũm hoc solum vulneris inferri posse judicent, ut fuligine compleantur. Quibus rebus factum est, ut jam Salmoneus tibi sit ausus etiam obtonare, neque id admodum ab re, quippe adversus Jovem usqueadeò frigidum, vir ad facinora fervidus, audaciãque tumidus. Quid ni enim faciat, ubi tu perinde ac sub mandragora stertis, qui neque pejerantes exaudias, neque eorum qui flagitia committunt, respectum agas? Cæcutis autem lippitudine, & hallucinaris ad ea quæ fiunt, auresq; jã tibi obsurduerũt,

καθάπερ οἱ παρηβηκότες. ἐπεὶ νέος γε ἔτι ὀξύθυμος ἦν, καὶ ἀκμαῖος τὴν ὀργὴν, πολλὰ κατὰ τῶν ἀδίκων, καὶ βιαίων ἐποίεις, καὶ οὐδέποτε ἦγες τότε πρὸς αὐτοὺς ἐκεχειρίαν, ἀλλ' ἀεὶ ἐνεργὸς πάντως ὁ κεραυνὸς ἦν, καὶ ἡ αἰγὶς ἐπεσείετο, καὶ ἡ βροντὴ ἐπαταγεῖτο, καὶ ἡ ἀστραπὴ συνεχὲς ὥσπερ εἰς ἀκροβολισμὸν προηκοντίζετο, οἱ σεισμοὶ δὲ κοσκινηδὸν καὶ ἡ χιὼν σωρηδὸν, καὶ ἡ χάλαζα πετρηδόν. καὶ ἵνα σοι φορτικῶς διαλέγωμαι, ὑετοί τε ῥαγδαῖοι καὶ βίαιοι, ποταμὸς ἑκάστη σταγών. ὥστε τηλικαύτη ἐν ἀκαρεῖ χρόνου ναυαγία ἐπὶ τοῦ Δευκαλίωνος ἐγένετο, ὡς ὑποβρυχίων ἁπάντων καταδεδυκότων, μόγις ἕν τι κιβώτιον περισωθῆναι, προσοκεῖλαν τῷ Λυκωρεῖ, ζώπυρόν τι τοῦ ἀνθρωπίνου σπέρματος διαφυλάττον εἰς ἐπιγονὴν κακίας μείζονος. τοιγάρτοι ἀκόλουθα τῆς ῥᾳθυμίας τἀπίχειρα κομίζῃ παρ' αὐτῶν, οὔτε θύοντος ἔτι σοί τινος, οὔτε στεφανοῦντος, εἰ μή τις ἄρα πάρεργον Ὀλυμπίων. καὶ οὗτος οὐ πάνυ ἀναγκαῖα ποιεῖν δοκῶν, ἀλλ' εἰς ἔθος τι ἀρχαῖον συντελῶν. καὶ κατ' ὀλίγον Κρόνον σε, ὦ θεῶν γενναιότατε, ἀποφαίνουσι, παρωσάμενοι

instar horum, qui ętate defecti sunt. Quandoquidem cùm juvenis adhuc esses acrique animo, vehemensque ad iracundiam, permulta in homines maleficos ac violentos faciebas. Neque tum unquam tibi cum illis erant induciæ. Sed perpetuò fulmen erat in negotio, perpetuò obvirabatur Ægis, obstridebat tonitru, fulgur continenter jaculorum in morem densissimè ex edito locu devolantium torquebatur, terræ quassationes, cribri instar frequentes, ad hæc nix cumulatim, neque non grando saxorum in morem. Atque ut tibi molestè disseram, imbresque rapidi & violenti, ac flumen quotidie exundans. Hinc tantùm repentè Deucalionis ætate naufragium ortum est, ut omnibus sub aqua demersis, vix unica scaphula servaretur, quæ in montem Lycorem appulit, humani generis quasi scintillulas quasdam servans, unde sceleratius etiam genus in posterum propagaretur. Nimirum igitur dignum socordia præmiũ ab illis reportas, cum jam nec sacra faciat tibi quisquam, nec coronas offerat, nisi obiter in Olympicis, ac ita ne is quidem rem admodum frugiferam facere videatur, sed priscum quendam ritum magis referre: ac penè Saturnum, ô Deorum generosissime, te reddunt ma-

τῆς τιμῆς. ἐῶ λέγειν, ὁποσάκις ἤδη σ
τὸν νεὼν σεσυλήκασιν. οἱ δὲ καὶ αὐτῷ σοι
τὰς χεῖρας ὀλυμπίασιν ἐπιβεβλήκασι,
καὶ σὺ ὁ ὑψιβρεμέτης ὤκνησας, ἢ
ἀναστῆσαι τοὺς κύνας, ἢ τοὺς γεί-
τονας ἐπικαλέσασθαι, ὡς βοηδρομή-
σαντες αὐτοὺς συλλάβοιεν, ἔτι συ-
σκευαζομένους πρὸς τὴν φυγήν. ἀλλ' ὁ
γενναῖος, καὶ γιγαντολέτωρ, καὶ τιτανο-
κράτωρ ἐκάθησο τοὺς πλοκάμους περι-
κειρόμενος ὑπ' αὐτῶν, δεκάπηχυν κε-
ραυνὸν ἔχων ἐν τῇ δεξιᾷ. ταῦτα τοί-
νυν ὦ θαυμάσιε, πηνίκα παύσεται οὕτω
ἀμελῶς παρορώμενα; ἢ πότε κολάσει
τὴν τοσαύτην ἀδικίαν; πόσοι φαέ-
θοντες ἢ Δευκαλίωνες ἱκανοὶ πρὸς
οὕτως ὑπέραντλον ὕβριν τοῦ βίου; ἵνα
γὰρ τὰ κοινὰ ἐάσας, τἀμὰ εἴπω, τοσού-
τους Ἀθηναίων εἰς ὕψος ἄρας, κα
πλουσίους ἐκ πενεστάτων ἀποφήνας, κα
πᾶσι τοῖς δεομένοις ἐπικουρήσας, μᾶλλο
δὲ ἀθρόον ἐς εὐεργεσίαν τῶν φίλων ἐκ-
χέας τὸν πλοῦτον, ἐπειδὴ πένης διὰ ταῦτ
ἐγενόμην, οὐκ ἔτι οὐδὲ γνωρίζομαι πρὸ
αὐτῶν, οὔτε προσβλέπουσιν οἱ τέως ὑποπ-
τήσσοντες, καὶ προσκυνοῦντες, κἀν τοῦ ἐ-
μοῦ νεύματος ἀνηρτημένοι. ἀλλ' ἢν π
καὶ ὁδῷ βαδίζων ἐντύχοιμί τινι αὐτῶ

ὦ ασ

giſtratu abdicantes. Omitto loqui, quoties jam templum tuum ſacrilegio compilarint, cùm tibi etiam ipſi in Olympiacis manus, admoliti ſint. Atque interea tu altifremus ille pigritabaris, vel excitare canes vel vicinos advocare, ut auxilio accurrentes illos comprehenderent, adhuc adornantes fugam. Sed generoſus, Gigantúmque extinctor, & Titanum victor ſedebas, cùm tibi cæſaries ab illis circumtonderetur, decemcubitale fulmen dextra tenenti. Horum igitur, ô præclare, quis tandem erit finis, quæ tu adeò ſecurè deſpicis? Aut quando de tantis maleficiis pœnas ſumes? quot Phaëthontes aut Deucaliones ſatis idonei ſint ad expiandam tam inexhauſtam morum iniquitatem? Etenim ut de communibus ſileam, de jis quæ mihi acciderunt dicam, cùm tam multos Athenienſes in ſublime evexerim, ex pauperrimis divites reddiderim, cunctiſque quotquot opus haberent, ſuppeditarim, imò ſemel univerſas opes in amicos juvãdos effuderim ſimulatq; his rebus ad inopiã deveni, jam ne agnoſcor quidẽ ab illis, nec aſpicere dignantur me, qui dudum reverebãtur, adorabãt, meóq; de nutu pẽdebãt. Quod ſi quãdo per viã ingrediẽs, fortè fortuna in eorũ quẽpiã

ὥσπερ τινὰ στήλην παλαιοῦ νεκροῦ ὑπτίαν, ὑπὸ τοῦ χρόνου ἀνατετραμμένην παρέρχονται, μηδὲ ἀναγνόντες, οἱ δὲ καὶ πόρρωθεν ἰδόντες, ἑτέραν ἐκτρέπονται, δυσάντητον, καὶ ἀποτρόπαιον θέαμα ὄψεσθαι ὑπολαμβάνοντες, τὸν οὐ πρὸ πολλοῦ σωτῆρα καὶ εὐεργέτην αὐτῶν γεγενημένον. ὥστε ὑπὸ τῶν κακῶν ἐπὶ ταύτην τὴν ἐσχατιὰν τραπόμενος, ἐναψάμενος διφθέραν, ἐργάζομαι τὴν γῆν ὑπόμισθος ὀβολῶν τεσσάρων, τῇ ἐρημίᾳ, καὶ τῇ δικέλλῃ προσφιλοσοφῶν ἐνταῦθα. τοῦτο γοῦν μοι δοκεῖ κερδανεῖν, μηκέτι ὄψεσθαι πολλοὺς παρὰ τὴν ἀξίαν εὖ πράττοντας. ἀνιαρότερον γὰρ τοῦτό γε. ἤδη ποτὲ οὖν ὦ Κρόνου καὶ Ῥέας υἱὲ τὸν βαθὺν τοῦτον ὕπνον ἀποσεισάμενος, καὶ νήδυμον, ὑπὲρ τὸν Ἐπιμενίδην γὰρ κεκοίμησαι, καὶ ἀναρριπίσας τὸν κεραυνόν, ἢ ἐκ τῆς Οἴτης ἐναυσάμενος, μεγάλην ποιήσας τὴν φλόγα, ἐπιδείξαιό τινα χολὴν ἀνδρώδους καὶ νεανικοῦ Διός, εἰ μὴ ἀληθῆ ἐστι τὰ ὑπὸ Κρητῶν περὶ σοῦ καὶ τῆς ἐκεῖ σῆς ταφῆς μυθολογούμενα.

Ζεύς. τίς οὗτός ἐστιν, ὦ Ἑρμῆ, ὁ κεκραγὼς ἐκ τῆς Ἀττικῆς, παρὰ τὸν Ὑμηττὸν ἐν τῇ ὑπωρείᾳ, πιναρὸς ὅλος, καὶ αὐχμῶν, καὶ ὑποδίφθερος; σκάπτει δέ, οἶμαι,

incidero, perinde ut everſam hominis jam olim defuncti ſtatuam, ac temporis longitudine collapſam prætereunt, quaſi ne norint quidem. Alii verò & procul conſpecto me, aliò in aliam viam deflectunt, exiſtimantes ſeſe inauſpicatum, abominandumque viſuros ſpectaculum, quem non ita pridem ſervatorem, & adjutorem ſuum eſſe prædicabant. Itaque prementibus malis ad extrema redactus conſilia, rhenone arrepto, terram exerceo, quaternis conductus obolis, atque hic cum ſolitudine, cumque ligone philoſophor. Hoc interim lucri mihi videor facturus, quod poſthac non intuebor pleroſque præter meritum ſecundis fortunæ ſucceſſibus utentes. Nam illud vel maximè urit. Jam igitur tandem aliquando Saturni Rheæque proles, excuſſo profundo iſto, gravique ſomno (nam Epimenidem quoque dormiendo viciſti) denuò jactato fulmine, aut ex Oeta redaccenſo, ingenti reddita flamma iram aliquam ſtrenui illius ac juvenilis Jovis oſtende, niſi vera ſint quæ á Cretenſibus de te, tuaq; ſepultura feruntur. JUP. Quis hic eſt, Mercuri, ſic vociferans ex Attica, ad Hymettum in radice montis, horridus totus, ac ſquallidus, pelleque amictus? fodit terram, ut arbitror: nam pronus incumbit,

homo

οἶμαι, ἐπικεκυφὼς, λάλος ἄνθρωπος, καὶ θρασὺς, ἢ που φιλόσοφός ἐστιν, οὐ γὰρ ἂν οὕτως ἀσεβεῖς τοὺς λόγους διεξῄει καθ' ἡμῶν. Ερμ. τί φῄς ὦ πάτερ; ἀγνοεῖς Τίμωνα τὸν Ἐχεκρατίδου, τὸν κολυττέα; οὗτός ἐστιν ὁ πολλάκις ἡμᾶς καθ' ἱερῶν τελείων ἑστιάσας, ὁ νεόπλουτος, ὁ τὰς ὅλας ἑκατόμβας παρ' ᾧ λαμπρῶς εἰώθαμεν ἑορτάζειν τὰ Διάσια. Ζ. φεῦ τῆς ἀλλαγῆς. ὁ καλὸς ἐκεῖνος, ὁ πλούσιος, περὶ ὃν οἱ τοσοῦτοι φίλοι; τί παθὼν οὖν τοιοῦτός ἐστιν, αὐχμηρὸς, ἄθλιος, καὶ σκαπανεὺς, καὶ μισθωτὸς, ὡς ἔοικεν, οὕτω βαρεῖαν καταφέρων τὴν δίκελλαν; Ερμ. οὑτωσὶ μὲν εἰπεῖν, χρηστότης ἐπέτριψεν αὐτὸν, καὶ φιλανθρωπία, καὶ ὁ πρὸς τοὺς δεομένους ἅπαντας οἶκτος. ὡς δὲ ἀληθεῖ λόγῳ, ἄνοια, καὶ εὐήθεια, καὶ ἀκρισία περὶ τοὺς φίλους, ὃς οὐ συνίει κόραξι, καὶ λύκοις χαριζόμενος, ἀλλ' ὑπὸ γυπῶν τοσούτων ὁ κακοδαίμων κειρόμενος τὸ ἧπαρ, φίλους εἶναι αὐτοὺς καὶ ἑταίρους ᾤετο, ὑπ' εὐνοίας τῆς πρὸς αὐτὸν, χαίροντας τῇ βορᾷ. οἱ δὲ τὰ ὀστᾶ γυμνώσαντες ἀκριβῶς, καὶ περιτραγόντες, εἴ τις καὶ μυελὸς ἐνῆν ἐκμυζήσαντες, καὶ τοῦτον εὖ μάλα ἐπιμελῶς ᾤχοντο

αὖον

homo loquax & confidens, mirum ni Philoſophus eſt. Neque enim alioqui adeo impia, nefariáque in nos fuerat dicturus. MERCVR. Quid ais pater, an non noſti Timonem Echecratidis filium Colyttenſem? Hic nimirum eſt, qui nos ſæpenumero in ſacris legitimis convivio accepit, ille repente dives factus, ille qui totas hecatombas, apud quem ſplendidè Jovialia feſta conſuevimus agitare. IUP. Hem quænam iſta rerum commutatio? hiccine honeſtus, ille dives, quem tam frequentes cingebant amici? Quid igitur accidit, ut hoc ſit habitu? ſqualidus, ærumnoſus, foſſor conductitius, uti conjicio, cum tam gravem ligonem gerat? MER. Ad hunc modum illum quodammodo probitas evertit, atque humanitas, & in omnes quicunque egerent miſericordia. At revera vecordia potius facilitáſque, nullúſque in ſuſcipiendis amicis delectus, quippe qui neutiquam intellexerit, ſeſe corvis lupiſq; largiri. Quin cùm à vulturibus tam multis miſero jecur eroderetur, amicos eſſe eos, & ſocios judicabat quaſi benevolentia erga ſe afficerentur, cùm illos epulæ magis caperent. Ergo poſteaquã oſſa penitus nudaſſent circũroſiſſétq;: deinde ſi qua medulla ſuberat, hãc quo-

αὖον αὐτὸν καὶ τὰς ῥίζας ὑποτετμημένον ἀπολιπόντες, οὐδὲ γνωρίζοντες ἔτι, οὐδὲ προσβλέποντες. πόθεν γὰρ ἢ ἐπικουροῦντες ἢ ἐπιδιδόντες ἐν τῷ μέρει; διὰ ταῦτα δικελλίτης καὶ διφθερίας, ὡς ὁρᾷς, ἀπολιπὼν ὑπ' αἰσχύνης τὸ ἄστυ μισθοῦ γεωργεῖ, μελαγχολῶν τοῖς κακοῖς, ὅτι οἱ πλουτοῦντες παρ' αὐτοῦ μάλα ὑπεροπτικῶς παρέρχονται, οὐδὲ τοὔνομα εἰ Τίμων καλοῖτο εἰδότες. Ζ. καὶ μὴν οὐ παροπτέος ἀνὴρ, οὐδὲ ἀμελητέος. εἰκότα γὰρ ἠγανάκτει δυστυχῶν. ἐπεὶ καὶ ὅμοια ποιήσομεν τοῖς καταράτοις κόλαξιν ἐκείνοις, ἐπιλελησμένοι ἀνδρὸς τοσαῦτα ταύρων τε καὶ αἰγῶν πιότατα καύσαντος ἡμῖν ἐπὶ τῶν βωμῶν. ἔτι γοῦν ἐν ταῖς ῥισὶ τὴν κνῖσαν αὐτῶν ἔχω. πλὴν ὑπ' ἀσχολίας τε καὶ θορύβου πολλοῦ τῶν ἐπιορκούντων, καὶ βιαζομένων, καὶ ἁρπαζόντων, ἔτι δὲ καὶ φόβου τοῦ παρὰ τῶν ἱεροσυλούντων (πολλοὶ γὰρ οὗτοι καὶ δυσφύλακτοι, καὶ οὐδὲ ἐπ' ὀλίγον καταμῦσαι ἡμῖν ἐφιᾶσι) πολὺν ἤδη χρόνον οὐδ' ἀπέβλεψα εἰς τὴν Ἀττικὴν, καὶ μάλιστα ἐξ οὗ φιλοσοφία καὶ λόγων ἔριδες ἐπεπόλασαν αὐτοῖς. μαχομένων γὰρ πρὸς ἀλλήλους, καὶ κεκραγότων,

quoque admodum diligenter exuxissent, aufugerunt, exuccum & radicitus desectum destituentes, adeò ut postea ne agnoscant quidem, aut aspiciant, tantum abest, ut sint qui suppeditent, vicissimq; impertiant. Has ob res fossor, & sago, ut vides, opertus pelliceo urbem præ pudore fugiens, mercede terram exercet, adversus ingratos atra bile stomachatur, qui quidem ipsius benignitate ditati, admodum fastuosè nunc prætereant, ac ne nomen quidem, an Timon vocetur, noverint. IUP. Atque profectò vir neutiquam fastidiendus, aut negligendus est, & jure optimo indignatur, qui iis tantis in malis agat. Quare sceleratos istos adulatores ipsi quoq; fuerimus imitati, si eum virum neglexerimus, qui tot tauros, & capras pinguissimas nobis in aris adoleverit, quarum nidor etiamnum mihi in naribus residet. Cæterùm propter negotia & turbam maximam pejerantium, tum vi, non jure agentium, neq; non aliena rapientium, prȩterea ob formidinem quā mihi pariunt sacrilegi, (quorū quidē cùm multi sunt, tum observatu difficiles, adeò ut ne minimum quidem nos connivere sinant) longo jam ad Atticam regionem oculos non converti tēpore, maximè posteaquā philosophia & de verbis digladiationes apud istos increbuerunt,

τῶν, οὐδὲ ἐπακούειν· ἐστὶ τῶν εὐχῶν. ὥστε ἢ ἐπιβυσάμενον χρὴ τὰ ὦτα καθῆσθαι, ἢ ἐπιτριβῆναι πρὸς αὐτῶν, ἀρετήν τινα καὶ ἀσώματα, καὶ λήρους μεγάλῃ τῇ φωνῇ ξυνειρόντων. διὰ ταῦτά τοι καὶ τοῦτον ἀμεληθῆναι συνέβη πρὸς ἡμᾶς, οὐ φαῦλον ὄντα. ὅμως δὲ τὸν Πλοῦτον ὦ Ἑρμῆ παραλαβὼν, ἄπιθι παρ᾽ αὐτὸν κατὰ τάχος· ἀγέτω δὲ ὁ Πλοῦτος καὶ τὸν Θησαυρὸν μετ᾽ αὐτοῦ, καὶ μενέτωσαν ἄμφω παρὰ τῷ Τίμωνι, μηδὲ ἀπαλλαττέσθωσαν οὕτω ῥᾳδίως, κἂν ὅτι μάλιστα ὑπὸ χρηστότητος αὖθις ἐκδιώκῃ αὐτοὺς τῆς οἰκίας. περὶ δὲ τῶν κολάκων ἐκείνων, καὶ τῆς ἀχαριστίας, ἣν ἐπεδείξαντο πρὸς αὐτὸν, καὶ αὖθις μὲν σκέψομαι, καὶ δίκην δώσουσιν, ἐπειδὰν τὸν κεραυνὸν ἐπισκευάσω. κατεαγμέναι γὰρ αὐτοῦ καὶ ἀποστομωμέναι εἰσὶ δύο ἀκτῖνες αἱ μέγισται, ὁπότε φιλοτιμότερον ἠκόντισα πρώην ἐπὶ τὸν σοφιστὴν Ἀναξαγόραν, ὃς ἔπειθε τοὺς ὁμιλητὰς, μηδὲ ὅλως εἶναι τινας ἡμᾶς τοὺς θεούς. ἀλλ᾽ ἐκείνου μὲν διήμαρτον. ὑπερέσχε γὰρ αὐτοῦ τὴν χεῖρα Περικλῆς. ὁ δὲ κεραυνὸς εἰς τὸ Ἀνάκειον παρασκήψας, ἐκεῖνό τε κατέφλεξε,

καὶ

buerunt, ita ut pugnantibus inter se istis, vociferantibusque ne exaudire quidem mortalium vota liceat. Unde mihi necessum est, aut auribus obturatis sedere, aut dirumpi ab eis, confici que, qui virtutem quandam, & incorporea quędam, merasque nugas ingenti vociferatione connectunt. Hæc in caussa fuerunt, ut hunc quoque neglexerim, cùm haud mediocriter de nobis sit meritus. Quod reliquum est, Mercuri, tu, assumpto Pluto celeriter ad istum abeas. Porrò Plutus unà secum ducat, & Thesaurum, & utrique apud Timonem perseverent, neque adeò facile demigrent, etiamsi quam maximè illos præ bonitate rursum ex ædibus exegerit. Cæterùm de palponibus illis, atque ingratitudine qua in hunc sunt usi in posterum consultabo, pœnásque daturi sunt, simul atque fulmen instauravero. Nam fracti sunt in eo retusa cuspide duo è radiis maximi, cùm nuper avidius in sophistam Anaxagoram jacularer, quin suis familiaribus suadebat, nullo pacto esse ullos nos, qui dii vocaremur. Ac illũ quidem errore non feriebam, propterea quod Pericles obtenta manu eum protexerit. Cæterùm fulmen in Castoris ac Pollucis templũ detortũ tum illud

καὶ αὐτὸς ὀλίγου δεῖν συνετρίβη παρὰ τὴν πέτραν. πλὴν ἱκανὴ ἐν τοσούτῳ καὶ αὕτη τιμωρία ἔσται αὐτοῖς, εἰ ὑπερπλουτοῦντα τὸν Τίμωνα ὁρῶσιν. Ερμ. οἷον ἦν τὸ μέγα κεκραγέναι, καὶ ὀχληρὸν εἶναι καὶ θρασύν; οὐ τοῖς δικαιολογοῦσι μόνοις, ἀλλὰ καὶ τοῖς εὐχομένοις τοῦτο χρήσιμον. ἰδοὺ γὰρ αὐτίκα μάλα πλούσιος ἐκ πενεστάτου καταστήσεται ὁ Τίμων, βοήσας καὶ παρρησιασάμενος ἐν τῇ εὐχῇ, καὶ ἐπιστρέψας τὸν Δία. εἰ δὲ σιωπῇ ἔσκαπτεν ἐπικεκυφώς, ἔτι ἂν ἔσκαπτεν ἀμελούμενος. Πλοῦτ. ἀλλ' ἐγὼ οὐκ ἂν ἀπέλθοιμι ὦ Ζεῦ παρ' αὐτόν. Ζ. διὰ τί ὦ ἄριστε Πλοῦτε, καὶ ταῦτα ἐμοῦ κελεύσαντος; Πλοῦτ. ὅτι νὴ Δία ὕβριζεν εἰς ἐμὲ, καὶ ἐξεφόρει, καὶ εἰς πολλὰ κατεμέριζε, καὶ ταῦτα, πατρῷον αὐτῷ φίλον ὄντα. καὶ μόνον οὐχὶ δικράνοις με ἐξεώθει τῆς οἰκίας, καθάπερ οἱ τὸ πῦρ ἐκ τῶν χειρῶν ἀπορριπτοῦντες. αὖθις οὖν ἀπέλθω, παρασίτοις καὶ κόλαξι παραδοθησόμενος; ἐπ' ἐκείνους ὦ Ζεῦ πέμπε με, τοὺς αἰσθησομένους τῆς δωρεᾶς, τοὺς περιέψοντας, οἷς τίμιος ἐγὼ καὶ περιπόθητος. οὗτοι δὲ οἱ λάροι τῇ πενίᾳ ξυνέστωσαν, ἣν

προ-

illud exufflit, tum ipſum parũ abfuit, quin ad ſaxum comminueretur. Quanquam interim vel id ſupplicii ſatis magnum in iſtos fuerit, ſi Timonem conſpexerint egregiè locupletem factum. MERCVR. Quantum habet momenti altum vociferari, & obſtreperum audacémq; eſſe? Idq; non iis modo, qui cauſſas agunt, verùm etiam qui vota faciunt cõducibile. En mox è pauperrimo dives evaſerit Timon, qui ſe imprecando clamoſum & improbum præſtiterit, Jovemq; reddiderit attentum. Si verò ſilẽtio fodiſſet nutans, etiam nunc foderet neglectus. PLVTVS. At ego Jupiter haud quaquam ad iſtum rediturus ſum. IVPIT. Quid ita non rediturus optime Plute, præſertim à me juſſus? PLVTVS. Quoniam per Jovem injuria me affecit ejiciens, & in multa fragmenta diſſecans, idque cùm illi paternus eſſem amicus, ac me penè dixerim, furca ex ædibus expulit, nec aliter quàm ii, qui è manibus ignem abjiciũt. Num rurſus ad iſtum ibo, paraſitis, & adulatoribus donandus? Ad eos me mitte, ô Iupiter, qui munus intellecturi ſint, qui amplexuri, quibus equidem in pretio ſim, & majorem in modum exoptatus. At hi ſtupidi cum inopia commercium habeant quam nobis anteponunt,

προτιμῶσιν ἡμῶν, καὶ διφθέραν παρ' αὐτῆς λαβόντες, καὶ δίκελλαν, ἀγαπάτωσαν ἄθλιοι, τέτταρας ὀβολοὺς ἀποφέροντες, οἱ δεκαταλάντους δωρεὰς ἀμελητὶ προϊέμενοι. Ζ. οὐδὲν ἔτι τοιοῦτον ὁ Τίμων ἐργάσεται περί σε, πάνυ γὰρ αὐτὸν ἡ δίκελλα πεπαιδαγώγηκεν, εἰ μὴ παντάπασιν ἀνάλγητός ἐστι τὴν ὀσφὺν, ὡς χρῆν σε ἀντὶ τῆς πενίας προαιρεῖσθαι. σὺ μέν τοι πάνυ μεμψίμοιρος εἶναι μοι δοκεῖς, ὃς νῦν μὲν τὸν Τίμωνα αἰτιᾷ, διότι σοι τὰς θύρας ἀναπετάσας, ἠφίει περινοστεῖν ἐλευθέρως, οὔτε ἀποκλείων, οὔτε ζηλοτυπῶν. ἄλλοτε δὲ τοὐναντίον ἠγανάκτεις κατὰ τῶν πλουσίων, κατακεκλεῖσθαι λέγων πρὸς αὐτῶν ὑπὸ μοχλοῖς καὶ κλεισὶ, καὶ σημείων ἐπιβολαῖς, ὡς μηδὲ παρακύψαι σοι ἐς τὸ φῶς δυνατὸν εἶναι. ταῦτα γοῦν ἀπωδύρου πρός με, ἀποπνίγεσθαι λέγων ἐν πολλῷ τῷ σκότῳ, καὶ διὰ τοῦτο ὠχρὸς ἡμῖν ἐφαίνου, καὶ φροντίδος ἀνάπλεως, συνεσπακὼς τοὺς δακτύλους πρὸς τὸ ἔθος τῶν συλλογισμῶν, καὶ ἀποδράσεσθαι ἀπειλῶν, εἰ καιροῦ λάβοιο παρ' αὐτῶν. καὶ ὅλως, τὸ πρᾶγμα ὑπέρδεινον ἐδόκει σοι ἐν χαλκῷ, ἢ σιδηρῷ θαλάμῳ, καθάπερ τὴν Δα-

runt., ut ab eo accepto ſago pelliceo, ligonéque, ſat habeant, cùm quatuor lucrantur obolos, decem talenta contemptim dono dare ſoliti. IUPITER. Nihil iſtiuſmodi poſthac in te facturus eſt Timon, quippe quem ligo abunde ſatis corripuerit, niſi prorſus nullum dolorem ſentiunt illius ilia, te videlicet potius præoptandum quàm inopiam. At tu mihi querulus admodum videris eſſe, qui nunc Timonem incuſes, quod tibi patefactis foribus liberè permiſerit vagari, neque includens, neque zelotypus in te. Porrò alias diverſa de cauſſa in divites ſtomachabare, cùm diceres, te ab illis repagulis, clavibus ac ſignorum objectaculis impreſſis ita fuiſſe concluſum, ut ne proſpicere quidem in lucem tibi liceret. Id igitur apud me deplorabas, affirmans præfocari te nimis tenebris, eóque pallidus nobis videbaris, & curis confectus, digitis etiamnum ex aſſiduo colligendi, coacervandíque uſu contractis, contortíſque: quod ſi quando daretur opportunitas, aufugiturum quoque ab illis te minitabare. In ſumma, rem ſupra modum acerbam judicabas in æreo ferreóque thalamo,
Da-

Δανάην παρθενεύεσθαι, ὑπ' ἀκριβέσι κ
παμπονήροις παιδαγωγοῖς ἀνατρεφόμε
νον τῷ τόκῳ, καὶ τῷ λογισμῷ. ἄτοπ
γοῦν ποιεῖν ἔφασκες αὐτοὺς, ἐρῶντας μ
εἰς ὑπερβολὴν, ἐξὸν δὲ ἀπολαύειν
τολμῶντας, οὐδὲ ἐπ' ἀδείας χρωμένο
τῷ ἔρωτι, κυρίους γε ὄντας, ἀλλὰ φυ
λάττειν ἐγρηγορότας, ἐς τὸ σημεῖον κ
τὸν μοχλὸν ἀσκαρδαμυκτὶ βλέποντας, ἱ
κανὴν ἀπόλαυσιν οἰομένους, οὐ τὸ αὐτὸ
ἀπολαύειν ἔχειν, ἀλλὰ τὸ μηδενὶ με
ταδιδόναι τῆς ἀπολαύσεως, καθάπε
τὴν ἐν τῇ φάτνῃ κύνα, μήτε αὐτὴ
ἐσθίουσαν τῶν κριθῶν, μήτε τῷ ἵππ
πεινῶντι ἐπιτρέπουσαν. καὶ προσέτι γε
κατεγέλας αὐτῶν φειδομένων, καὶ φυ
λαττόντων, καὶ τὸ καινότατον. αὐτοὺς ζη
λοτυπούντων, ἀγνοούντων δὲ ὡς κατά
ρατος οἰκέτης, ἢ οἰκονόμος, ἢ πα
δοτρίβης ὑπεισιὼν λαθραίως, ἐμπαρο
νήσει τὸν κακοδαίμονα, καὶ ἀνέραστ
δεσπότην, πρὸς ἀμαυρόν τι καὶ μικρόστ
μον λυχνίδιον, καὶ διψαλέον θρυαλλ
δίον, ἐπαγρυπνεῖν ἐάσας τοῖς τόκοι
πῶς οὖν οὐκ ἄδικον, πάλαι μὲν σὺ τοι
τα αἰτιᾶσθαι, νῦν δὲ τῷ Τίμωνι
ἐναντία ἐπικαλεῖν; ΠΛΟΥΤ. καὶ μὴν εἴ

τ' αλ

Danaes exemplo virginem asservari, atque à scelestissimis educari pædagogis, fœnore & computatione. Proinde absurdè facere ajebas, quod te præter modum adamarent, neque cùm liceret, frui auderent, neque cum ipsis esset in manu, amore suo securè uterentur, sed vigiles observarent, ad signum ac seram oculis nunquam conniventibus, neque usquam dimotis semper intuentes, abundè magnum fructum arbitrantes, non quod ipsis fruendi facultas adesset, sed quod nemini fruendi copiam facerent, non aliter quàm in præsepi canis, nec ipse vescens hordeis, nec equum famelicum id facere sinens. Quinetiam ridebas istos, qui parcerent, & asservarent, & quod (esset absurdissimum) etsi quidem sibi subtraherent, vererentúrque contingere, non intelligerent autem fore, ut aut sceleratissimus famulus aut dispensator, aut liberorum pædagogus furtim subiret, ludibrio habiturus infelicem & inamabilem herum, quam postea sinat ad obscuram, & oris angusti lucernulam, ac siticulosum ellychniolum usuris invigilare. Annon igitur iniquum, cùm hæc quondam incusaveris, nunc in Timone diversa his criminari? PLVTVS. Atqui si rem verè perpenderis, utrumque me iure

τ᾽ἀληθῆ ἐξετάζοις, ἄμφω σοι εὔλογα δόξω ποιεῖν. τοῦτε γὰρ Τίμων τὸ πάνυ τοῦτο ἀνειμένον, ἀμελὲς, καὶ οὐκ εὐνοϊκὸν, ὡς πρὸς ἐμὲ εἰκότως ἂν δοκοίη. τούς τε αὖ κατάκλεισον ἐν θύραις, καὶ σκότῳ φυλάττοντας. ὅπως αὐτοῖς παχύτερος γενοίμην, καὶ πιμελὴς, καὶ ὑπέρογκος, ἐπιμελουμένους, οὔτε προσαπτομένους αὐτοὺς, οὔτε εἰς τὸ φῶς προάγοντας, ὡς μηδὲ ὀφθείην πρός τινος, ἀνοήτους ἐνόμιζον εἶναι καὶ ὑβριστὰς, οὐδὲν ἀδικοῦντά με ὑπὸ τοσούτοις δεσμοῖς κατασήποντας, οὐκ εἰδότας ὡς μετὰ μικρὸν ἀπίασιν ἄλλῳ τινὶ τῶν εὐδαιμόνων με καταλιπόντες. οὔτ᾽ οὖν ἐκείνους, οὔτε τοὺς πάνυ προχείρους εἰς ἐμὲ τούτους ἐπαινῶ, ἀλλὰ τοὺς, ὅπερ ἄριστόν ἐστι, μέτρον ἐπιθήσοντας τῷ πράγματι, καὶ μήτε ἀφεξομένους τὸ παράπαν, μήτε προησομένους τὸ ὅλον. Διόπερ καὶ αὐτὸς πολλάκις ἀγανακτῶ, πρὸς ἐνίων μὲν ἀτίμως λακτιζόμενος, καὶ λαφυσσόμενος, καὶ ἐξαντλούμενος, ὑπ᾽ ἐνίων δὲ, ὥσπερ στιγματίας δραπέτης πεπεδημένος. Ζ. τί οὖν ἀγανακτεῖς κατ᾽ αὐτῶν; διδόασι γὰρ ἄμφω καλὴν τὴν δίκην. οἱ μὲν ὥσπερ ὁ Τάν-

ταλος

ure facere judicabis. Nam & Timonis
ſta nimia lenitas, negligentia potius,
aud benevolentia, ſtudiumq́ue quod ad
e pertinet, meritò videatur. At è di-
erſo, qui me oſtiis ac tenebris in-
luſum ſervabant, id agentes, quo ſci-
icet craſſior ſaginatiorque, ac nimia mo-
e turgidus evaderem, cùm interim neque
ſi contingerent, neque in lucem produ-
erent, ne vel aſpicerer à quopiam, hos de-
entes & contumelioſos in me judica-
am, quippe qui me nihil commeritum
tin vinculis cogerent ſitu cariéque pu-
eſcere, haud intelligentes, quo mox de-
igrent, me alii cuipiam, cui fortuna
ierit, relicturi. Neque hos igitur pro-
o, neque illos, qui nimium facile mihi
anus admovent, ſed qui (quod eſt opti-
um) mediocritate utuntur, uti nec pror-
s abſtineant, nec penitus profundant.
uare & ipſe ſæpè indignor, cùm à non-
llis ignominioſè cædor calcibus, la-
órque, atque exhaurior, à nonnullis
atra perinde ac ſtigmaticus fugitivus
mpedibus vincior. IUPITER.
uid igitur indignaris contra illos?
andoquidem utrinque pœnas egre-
s luunt: alteri quidem dum Tanta-

τυλος ἄποτοι καὶ ἄγευστοι καὶ ξηροὶ
στόμα, ἐπικεχηνότες μόνον τῷ χρυσί
οἱ δὲ καθάπερ ὁ Φινεὺς ἀπὸ τῆς φάρυ
γος τὴν τροφὴν ὑπὸ τῶν ἁρπυιῶν ἀ
αιρούμενοι. ἀλλ' ἄπιθι ἤδη, σωφρο
στέρῳ παραπολὺ τῷ Τίμωνι ἐντευξό
νος. Πλοῦτ. ἐκεῖνος γάρ ποτε παύσ
ὥσπερ ἐκ κοφίνου τετρυπημένου, πρὶν ὅλ
εἰσρυῆναί με κατὰ πολλὴν ἐξαντλῶ
φθάσαι βουλόμενος τὴν ἐπιρροὴν, μὴ
ὑπέραντλος, εἰσπεσὼν ἐπικλύσω αὐτ
ὥστε ἐς τὸν τῶν Δαναΐδων πίθον ὑδ
φορήσειν μοι δοκῶ, καὶ μάτην ἐπαντ
σειν, τοῦ κύτους μὴ στέγοντος, ἀλλὰ π
εἰσρυῆναι σχεδὸν ἐκχυθησομένου τοῦ ἐπ
ῥέοντος, οὕτως εὐρύτερον τὸ πρὸς τ
ἔκχυσιν κεχηνὸς τοῦ πίθου, καὶ ἀκώλυ
ἡ ἔξοδος. Ζ. οὐκοῦν εἰ μὴ ἐμφράξ
τὸ κεχηνὸς τοῦτο, καὶ εἰς τὸ ἅπαξ α
πεπταμένον, ἐκχυθέντος ἐν βραχεῖ
ῥαδίως εὑρήσει τὴν διφθέραν. αὖ
καὶ τὴν δίκελλαν ἐν τῇ τρυγὶ τοῦ πίθου. ἀ
ἄπιτε ἤδη, καὶ πλουτίζετε αὐτόν. σὺ
μέμνησο ὦ Ερμῆ ἐπανιὼν, πρὸς ἡ
ἄγειν τοὺς κύκλωπας ἐκ τῆς Αἴτνης, ὅ
τὸν κεραυνὸν ἀκονήσαντες ἐπισκευά
σιν, ὡς ἤδη γε τεθηγμένου α
δεησόμεθα. Ερ. προΐωμεν ὦ Πλο

li in morem, neque bibere ſinuntur, neque edere; ſed ore ſicco duntaxat inhiant auro: alteri verò dum illis ceu Phyneo cibos Harpyiæ ipſis è faucibus eripiunt. Sed abi jam, Timone multò poſthac uſurus cordatiore. PLVTVS. An ille aliquando deſinet me ceu foraminoſo cophino, priuſquam omninò influxerim, data opera exhaurire, quaſi conetur occupare, quo minus influam, veritus ne ſi copioſus infundar, ipſum undis obruam? Quo fit, ut in Danaidum dolium aquam mihi videar allaturus, fruſtráque infuſurus, vaſe uon continente liquorem, imo prius propemodum effuſo quod influit quàm influxerit. Adeo latus dolii hiatus ad effuſionem, ac liber exitus. IUPITER. Proinde ni hiatum iſtum obturaverit, perpetuámque perſtillationem ſiſtere ſtuduerit, te propediem effuſo facile inveniet ſagum rurſus & ligonem in fæce dolii. ſed interim abite, atque illum divitem reddite. At tu, Mercuri, fac memineris, ut rediens Cyclopas ex Ætna tecum adducas, quo fulmen cuſpide reſtituta reſarciant. Nam eo nobis acuminato opus fuerit. MERCUR. Eamus Plute. Quid hoc? Num claudicas?

τί τοῦτο ὑποσκάζεις; ἐλελήθεις με ὦ
γεννάδα, οὐ τυφλὸς μόνον, ἀλλὰ καὶ χω-
λὸς ὤν. Πλου. οὐκ ἀεὶ τοῦτο ὦ Ἑρμῆ,
ἀλλ' ὁπόταν μὲν ἀπίω παρά τινα πεμ-
φθεὶς ὑπὸ τοῦ Διός, οὐκ οἶδ' ὅπως βρα-
δύς εἰμι καὶ χωλὸς ἀμφοτέροις, ὡς μό-
λις τελεῖν ἐπὶ τὸ τέρμα, προγηράσαν-
τος ἐνίοτε τοῦ περιμένοντος, ὁπόταν
δ' ἀπαλλάττεσθαι δέῃ, πτηνὸν ὄψει πο-
λὺ τῶν ὀρνέων ὠκύτερον. ἅμα γοῦν ἔ-
πεσεν ἡ ὕσπληγξ, κἀγὼ ἤδη ἀνακη-
ρύττομαι νενικηκὼς ὑπερπηδήσας τὸ στά-
διον, οὐδὲ ἰδόντων ἐνίοτε τῶν θεατῶν. Ερ.
οὐκ ἀληθῆ ταῦτα φής. ἐγὼ γοῦν καὶ πολλού-
ς ἄν εἰπεῖν ἔχοιμί σοι, χθὲς μὲν οὐδὲ ὀ-
βολὸν ὥστε πρίασθαι βρόχον ἐσχηκότας,
ἄφνω δὲ τήμερον πλουσίους καὶ πολυτε-
λεῖς ἐπὶ λευκοῦ ζεύγους ἐξελαύνοντας,
οἷς οὐδὲ κἂν ὄνος ὑπῆρξε πώποτε,
καὶ ὅμως πορφυροῖ, καὶ χρυσό-
χειρες περιέρχονται, οὐδ' αὐτοὶ πι-
στεύοντες οἶμαι, ὅτι μὴ ὄναρ πλουτοῦσι.
Πλουτ. ἑτεροῖον τοῦτ' ἐστὶν ὦ Ἑρμῆ,
καὶ οὐχὶ τοῖς ἐμαυτοῦ ποσὶ βαδίζω τό-
τε, οὐδὲ ὁ Ζεύς, ἀλλ' ὁ Πλούτων ἀποστέλ-
λει με παρ' αὐτούς, ἅτε πλουτοδότης
καὶ μεγαλόδωρος καὶ αὐτὸς ὤν. δηλοῖ γοῦν

Equidem ignorabam ô præclare, te non cæcum modò, verùm etiam claudum esse. PLVTVS. Atqui non hoc mihi perpetuum, Mercuri, verùm si quando proficiscor à Jove missus ad quempiam, tum nescio quo pacto tardus sum, & utroque claudus pede, ita ut ægrè ad metam pertingere queam, sene nonnunquam interim facto, qui me opperiebatur. Porrò cum discedendum est, alatum videbis multò avibus celeriorem. Unde fit, ut vix jam amoto repagulo, ego jam præconis voce victor pronuncier, saltu stadium transmensus, ne videntibus quidem aliquoties spectatoribus. MERCUR. At ista quidem haud vera narras, imo ego tibi permultos commemorare queam, quibus heri ne obolus quidem erat, quo restim emerent, statim verò hodie divites & sumptuosi in albo curru aurigantes, quibus ante ne asellus quidem suppeditarit. Ji tamen purpurati, aurúmque manibus gestantes obambulant. Qui ne ipsi quidem, opinor, credere possunt, quin per somnium divites. PLVT. Isthæc alia res est, Mercuri, neque enim tum meis ipsius ingredior pedibus, nec à Jove, sed à Dite ad istos transmittor, qui & ipse nimirum opum largitor est,

καὶ τοῦ ὀνόματι. ἐπειδὰν τοίνυν μετοικισθῆναι δέῃ με παρ' ἑτέρου πρὸς ἕτερον, ἐς δέλτον ἐμβαλόντες με, καὶ κατασημηνάμενοι ἐπιμελῶς, φορηδὸν ἀράμενοι μετακομίζουσι. καὶ ὁ μὲν, νεκρὸς ἐν σκοτεινῷ που τῆς οἰκίας πρόκειται ὑπὲρ τὰ γόνατα παλαιᾷ τῇ ὀθόνῃ σκεπόμενος, περιμάχητος ταῖς γαλαῖς, ἐμὲ δὲ οἱ ἐπελπίσαντες, ἐν τῇ ἀγορᾷ περιμένουσι κεχηνότες, ὥσπερ τὴν χελιδόνα προσπετομένην, τετριγότες οἱ νεοττοί. ἐπεὶ δ' αὖ καὶ τὸ σημεῖον ἀφαιρεθῇ, καὶ τὸ λίνον ἐντμηθῇ, καὶ ἡ δέλτος ἀνοιχθῇ, καὶ ἀνακηρυχθῇ μου ὁ καινὸς δεσπότης, ἤτοι συγγενής τις, ἢ κόλαξ, ἢ οἰκέτης, μέγα τὸ μίσθωμα ὁ γύναιος ἀπολαβὼν, ἐκεῖνος μὲν, ὅς τις ἂν ᾖ, ποτὲ ἁρπασάμενός με, αὐτῇ δέλτῳ θέει φέρων ἀντὶ τοῦ τέως Πυῤῥίου, ἢ Δρόμωνος, ἢ Τιβείου, Μεγακλῆς, ἢ Μεγάβυζος, ἢ Πρώταρχος μετονομασθεὶς, τοὺς μάτην κεχηνότας ἐκείνους εἰς ἀλλήλους ἀποβλέποντας καταλιπὼν, ἀληθὲς ἄγοντας τὸ πένθος, οἷος αὐτοὺς ὁ θύννος ἐκ μυχοῦ τῆς σαγήνης διέφυγεν, οὐκ ὀλίγον τὸ δέλεαρ καταπιών. ὁ δὲ ἐμπεσὼν ἀθρόως ἐς ἐμὲ ἀπειρόκαλος, καὶ παχύδερμος ἄνθρωπος, ἔτι τὴν

ac magna donans : id quod ipso etiam nomine declarat. Itaque quoties est mihi ab alio ad alium demigrandum, in tabellas injiciunt me, ac diligenter obsignantes sarcinæ in morem sublatum transportant. Interea defunctus ille alicubi in ædium tenebricosa parte jacet, vetere linteo ingenua injecto tectus, de quo feles digladiantur. Porrò qui me speraverant obtinere, in foro opperiuntur hiantes, non aliter, quàm hirundinem advolantem stridentes pulli. Deinde ubi signum detractum est, & lineus ille funiculus incisus, apertæque tabellæ, jamque novus dominus pronunciatus est, sive cognatus quispiam, sive adulator, sive servus, ingens scilicet præmium ferens generosus quisquis ille tandem fuerit, nonnunquam me ipsis cum tabellis arreptum, fugiens adportat commutato nomine, ut qui modò Pyrrhias, aut Dromo, aut Tibius, aut Megacles, aut Megabyzus, aut Protarchus appelletur. Cæterum illos nequicquam hiantes, seque mutuum intuentes relinquit, ac verum luctum agentes, quod ejusmodi thynnus ex intimo sagenæ sinu sit elapsus, qui non parum magnam escam devorarit. At hic repentè totus in me irruens, homo vitæ mundioris, atque elegantioris, rudis, pingui, illotáque cute,

τὴν πέδην πεφρικὼς, καὶ εἰ παριὼν ἄλλος
μαστίξειέ τις, ὄρθιον ἐφιστὰς τὸ οὖς, καὶ
τὸν μυλῶνα ὥσπερ τὸ ἀνάκτορον προσ-
κυνῶν, οὐκ ἔτι φορητός ἐστι τοῖς ἐντυγ-
χάνουσιν, ἀλλὰ τούς τε ἐλευθέρους ὑβρί-
ζει, καὶ τοὺς ὁμοδούλους μαστιγοῖ, ἀποπει-
ρώμενος, εἰ καὶ αὐτῷ τὰ τοιαῦτα ἔξεστιν, ἄ-
χρις ἂν ἢ ἱπποτροφίας ἐπιθυμήσας, ἢ
κόλαξι παραδοὺς ἑαυτὸν ὀμνύουσιν, ἢ μὴν
εὐμορφότερον μὲν Νιρέως εἶναι αὐτὸν, εὐ-
γενέστερον δὲ τοῦ Κέκροπος, ἢ Κόδρου, συν-
ετώτερον δὲ τοῦ Ὀδυσσέως, πλουσιώτε-
ρον δὲ συνάμα Κροίσων ἑκκαίδεκα, ἐν
ἀκαρεῖ τοῦ χρόνου ἄθλιος ἐκχέῃ τὰ κατ'
ὀλίγον ἐκ πολλῶν ἐπιορκιῶν καὶ ἁρπαγῶν
καὶ πανουργιῶν συνειλεγμένα. Ερ. αὐτά
που σχεδὸν φῂς τὰ γινόμενα. ὁπόταν δ'
οὖν αὐτόπους βαδίζῃς, πῶς οὕτω τυφλὸς
ὢν εὑρίσκεις τὴν ὁδόν; ἢ πῶς διαγι-
νώσκεις, ἐφ' οὓς ἄν σε Ζεὺς ἀποστείλῃ,
κρίνας εἶναι τοῦ πλουτεῖν ἀξίους; Πλοῦτ.
οἴει γὰρ εὑρίσκειν με οἵτινές εἰσι; Ερμ.
μὰ τὸν Δία οὐ πάνυ. οὐ γὰρ Ἀριστείδην
καταλιπὼν, Ἱππονίκῳ καὶ Καλλίᾳ
προσῄεις, καὶ πολλοῖς ἄλλοις Ἀθη-
ναίων, οὐδὲ ὀβολοῦ ἀξίοις. πλὴν
ἀλλὰ τί πράττεις καταπεμφθείς;
Πλοῦτ.

qui compedes etiamdum horrescit, & si quis præteriens loro increpet, arrectis stat auribus, quique pristinum, perinde uti templum adoret, non est deinceps tolerandus iis, quibus cum vivit, verùm & ingenuos afficit contumelia, & conservos flagris cædit, experiens, num & sibi hujusmodi liceant, donec aut equorum alendorum studio captus, aut adulatoribus sese permittens, dejerantibus Nireo formosiorem esse, Cecrope, Codrove generosiorem, callidiorem Vlysse, unum autem vel sedecim pariter Crœsis opulentiorem, momento temporis semel profundat infœlix quæ minutatim multis ex perjuriis, rapinis, flagitiis fuerant collecta. MERCVR. Ista fermè sic habent, uti narras: verùm ubi tuis ipsius ingrederis pedibus, qui tandem cæcus cùm sis, viam invenire soles? Aut qui dignoscis, ad quosnam Jupiter te miserit, dignos illi visos qui divitiis abundent? PLVT. Enimverò credis me reperire istos ad quos mittor? MERCUR. Per Jovem haud quaquam. Neque enim alioqui Aristide præterito, ad Hipponicum & Calliam accessisses, cùm ad alios Athenienses, homines ne obolo quidem æstimandos. Cæterùm quid facis, quandoquidé es emissus?

Πλοῦτ. ἄνω καὶ κάτω πλανῶμαι περινοστῶν, ἄχρις ἂν λάθω τινὶ ἐμπεσών, ὁ δὲ ὅς τις ἂν πρῶτός μοι περιτύχῃ ἀπαγαγὼν ἔχει, σὲ τὸν Ἑρμῆν, ἐπὶ τῷ παραλόγῳ τοῦ κέρδους προσκυνῶν. Ἑρμ. οὐκοῦν ἐξηπάτηται ὁ Ζεὺς, οἰόμενός σε κατὰ τὰ αὐτῷ δοκοῦντα πλουτίζειν ὅσους ἂν οἴηται τοῦ πλουτεῖν ἀξίους; Πλοῦτ. καὶ μάλα δικαίως ὦ 'γαθὲ, ὅς γε τυφλὸν ὄντα εἰδὼς, ἔπεμπεν ἀναζητήσοντα δυσεύρετον οὕτω χρῆμα, καὶ πρὸ πολλοῦ ἐκλελοιπὸς ἐκ τοῦ βίου, ὅπερ οὐδ' ὁ Λυγκεὺς ἂν ἐξεύροι ῥᾳδίως, ἀμαυρὸν οὕτω καὶ μικρὸν ὄν. τοιγαροῦν ἅτε τῶν μὲν ἀγαθῶν ὄντων, πονηρῶν δὲ πλείστων ἐν ταῖς πόλεσι τὸ πᾶν ἐπεχόντων, ῥᾷον ἐς τοὺς τοιούτους ἐμπίπτω περιιὼν, καὶ σαγηνεύομαι πρὸς αὐτῶν. Ἑρμ. εἶτα πῶς ἐπειδὰν καταλίπῃς αὐτοὺς, ῥᾳδίως φεύγεις, οὐκ εἰδὼς τὴν ὁδόν; Πλοῦτ. ὀξυδερκὴς τότε πως καὶ ἀρτίπους γίγνομαι πρὸς μόνον τὸν καιρὸν τῆς φυγῆς. Ἑρμ. ἔτι δή μοι καὶ τοῦτο ἀπόκριναι, πῶς τυφλὸς ὤν, εἰρήσεται γὰρ, καὶ προσέτι ὠχρὸς καὶ βαρὺς ἐκ τοῖν σκελοῖν τοσούτους ἐραστὰς ἔχεις, ὥστε πάντας ἀποβλέπειν εἰς σὲ καὶ τυχόντας

μὲ

PLUT. Surſum ac deorſum circumcurſans oberro, donec imprudens in quempiam incurrero. Hic autem, quiſquis ille ſit, qui fortè primus me nactus ſit, abducit, ac poſſidet, te Mercuri pro lucro præter ſpem, ſubjecto venerans atque adorans. MER Num ergo fallitur Jupiter, qui quidem credat ex ipſius animi ſententia, ditari abs te hos, quos ille dignos exiſtimarit, qui diteſcerent? PLUTUS. Et jure quidem optimo fallitur ô bone, quippe qui cùm me cœcum eſſe non ignoret, emittat veſtigatum rem uſquè adeò repertu difficilem, & jam olim è vita ſublatam, quam ne Lynceus quidem facile inveniret, quæ nimirum adeò obſcura ſit ac minuta. Itaque cum rari ſint boni, improbi porrò in civitatibus omnia obtineant, oberrans facile in hujuſmodi mortales incurro, ac retibus illorum illigor. MER. At quî fit, ut quoties eos deſeris, celeriter aufugias, cùm viæ ſis ignarus? PLUT. Tum demum acutũ cerno, pedibúſq; valeo, ubi ad fugam tempus invitat. MER. Jam illud quoque mihi reſponde, qui fit, ut cùm ſis oculis captus (dicendũ enim eſt) præterea pallidus, poſtremò claudus, tam multos habeas amãtes, adeò ut omnes reſpiciãt in te,

&

μὴ εὐδαιμονεῖν οἴεσθαι, εἰ δὲ ἀποτύχοιεν, οὐκ ἀνέχεσθαι ζῶντας; οἶδα γοῦν τινας οὐκ ὀλίγους αὐτῶν οὕτω σου δυσέρωτας ὄντας, ὥς τε καὶ εἰς βαθυκήτεα πόντον φέροντες, ἔρριψαν αὐτούς. καὶ πετρῶν κατ᾽ ἠλιβάτων, ὑπερορᾶσθαι νομίζοντες ὑπὸ σοῦ, ὅτι περ οὐδὲ τὴν ἀρχὴν ἑώρας αὐτούς. πλὴν ἀλλὰ καὶ σὺ ἂν, εὖ οἶδα, ὅτι ὁμολογήσειας, εἴ τι ξυνίης σεαυτοῦ, κορυβαντιᾶν αὐτοὺς, ἐρωμένῳ τοιούτῳ ἐπιμεμηνότας. Πλοῦτ. οἴει γὰρ τοιοῦτον, οἷός εἰμι ὁρᾶσθαι αὐτοῖς χωλὸν ἢ τυφλὸν, ἢ ὅσα ἄλλα μοι πρόσεστιν; Ερμ. ἀλλὰ πῶς ὦ Πλοῦτε, εἰ μὴ τυφλοὶ καὶ αὐτοὶ πάντες εἰσί; Πλοῦτ. οὐ τυφλοὶ ὦ ἄριστε, ἀλλ᾽ ἡ ἄγνοια καὶ ἡ ἀπάτη, αἵπερ νῦν κατέχουσι τὰ πάντα, ἐπισκιάζουσιν αὐτούς. ἔτι δὲ καὶ αὐτὸς ὡς μὴ παντάπασιν ἄμορφος εἴην, προσωπεῖον περιθέμενος ἐρασμιώτατον, διάχρυσον καὶ λιθοκόλλητον, καὶ ποικίλα ἐνδὺς, ἐντυγχάνω αὐτοῖς. οἱ δὲ αὐτοπρόσωπον οἰόμενοι ὁρᾶν τὸ κάλλος, ἐρῶσι, καὶ ἀπόλλυνται μὴ ἐντυγχάνοντες. ὡς εἴ γέ τις αὐτοῖς ὅλον ἀπογυμνώσας ἐπέδειξέ με, δῆλον ὡς κατεγίνωσκον ἂν αὐτῶν ἀμβλυώττοντες τὰ τηλικαῦτα, καὶ ἐρῶντες ἀνεράστων καὶ ἀμόρφων πραγμάτων.

& si potiantur, felices videantur: sin frustrentur, non sustineant vivere? Ex his equidem non paucos novi, qui sic perditè te amarint, ut se aërio scopulo piscosi in æquoris alta, præcipites abjecerint, rati fastidiri sese abs te, propterea quod illos nullo pacto respexisses. Quanquam sat scio, tu quoque fateberis, si quo modo tibi ipsi notus es, furere istos qui ejusmodi amore sunt dementati. PLVTVS. At enim credis me, qualis sum, talem istis videri, nempe claudum aut cæcum, aut siquid aliud adest mihi vitii? MERC. Quid ni, ô Plute? nisi fortè & ipsi omnes cœci sunt. PLVTVS. Haud cœci quidem, ô optime, verùm inscitia errorque, quæ nunc occupant omnia, illis offundunt tenebras: ad hæc ipse quoque ne per omnia deformis sim, persona vehementer amabili tectus inaurata, gemmisq; picturata, ac versicoloribus amictus, eis occurro: illi rati sese nativi vultus venustatem aspicere, amore capiuntur, & pereunt non potientes. Quod si quis me toto corpore renudatum illis ostenderit, dubio procul futurum sit, ut se ipsi damnent, qui tantopere cæcutierint, adamantes res neutiquam amandas ac fœdas. MERCURIUS. Quid ergo posteaquam eò perventum est, ut jam

di-

των. Ερ. τί οὖν ὅτι ἐν αὐτῷ ἤδη τῷ πλουτεῖν, καὶ τὸ προσωπεῖον αὐτὸ περιθέμενοι, ἔτι ἐξαπατῶνται; καὶ ἢν τις ἀφαιρῆται αὐτοὺς, θᾶττον ἂν τὴν κεφαλὴν ἢ τὸ προσωπεῖον πρόοιντο; οὐ γὰρ δεῖ καὶ τότε ἀγνοεῖν εἰκὸς αὐτοὺς ὡς ἐπίχριστος ἡ εὐμορφία ἐστὶν, ἔνδοθεν τὰ πάντα ὁρῶντας. Πλοῦτ. οὐκ ὀλίγα ὦ Ἑρμῆ, καὶ πρὸς τοῦτό μοι συναγωνίζεται. Ερμ. τὰ ποῖα; Πλοῦτ. ἐπειδάν τις ἐντυχὼν τὸ πρῶτον ἀναπετάσας τὴν θύραν εἰσδέχεταί με, συμπαρεισέρχεται μετ' ἐμοῦ λαθὼν ὁ τῦφος καὶ ἄνοια, ἡ μεγαλαυχία, καὶ ἡ μαλακία, καὶ ὕβρεις, καὶ ἀπάτη, καὶ ἄλλα ἄττα μυρία, ὑπὸ δὴ τούτων ἁπάντων καταληφθεὶς τὴν ψυχὴν, θαυμάζει τε τὰ οὐ θαυμαστὰ, καὶ ὀρέγεται τῶν φευκτῶν, κἀμὲ τὸν πάντων ἐκείνων πατέρα τῶν εἰσεληλυθότων κακῶν τέθηπε, δορυφορούμενον ὑπ' αὐτῶν. καὶ πάντα πρότερον πάθοι ἂν, ἢ ἐμὲ προέσθαι ὑπομείνειεν ἄν. Ερμ. ὡς δὲ λεῖος εἶ ὦ Πλοῦτε, καὶ ὀλισθηρὸς καὶ δυσκάθεκτος καὶ διαφευκτικὸς οὐδεμίαν ἀντιλαβὴν παρεχόμενος βεβαίαν, ἀλλ' ὥσπερ ἐγχέλεις ἢ οἱ ὄφεις διὰ τῶν δακτύλων δραπετεύεις οὐκ οἶδα ὅπως. ἡ πενία δ' ἔμπαλιν ἰξώδης τε καὶ εὐλαβὴς, καὶ μυρία τὰ ἄγκιστρα ἐκπεφυκότα

ἐξ

divites evaſerint, jamque perſonam ſibi circumpoſuerint, rurſum falluntur? Adeò ut ſi quis illis detrahere conetur, penè caput potiùs quàm perſonam abjiciant? Neque enim veriſimile eſt etiam tum illos ignorare, fucatam eſſe formam, cùm intus cuncta inſpexerint. PLUTUS. Ad id non parum multæ res, ô Mercuri, mihi ſunt adjumento. MERCURIUS. Quænam? PLUTUS. Simul atque qui me primum nactus eſt, apertis foribus exceperit, clanculum unà mecum introit elatio, vecordia, jactantia, mollities, violentia, dolus, atque alia item innumerabilia: à quibus omnibus poſteaquam eſt animus occupatus, jam admiratur quæ neutiquam ſunt admiranda, & appetit ea quæ ſunt fugienda, & me cunctorum illorum patrem ingreſſorum malorum ſtupuit, illorum ſatellitio vallatum, quidvis potius paſſurus, quàm uti me compellatur rejicere. MERCURIUS. Ut levis ac lubricus es Plute, retentu difficilis ac fugax, neque ullam præbens anſam certam quo prenſus teneare, ſed neſcio quomodo anguillarum, ac ſerpentum in morem inter digitos elaberis. At è diverſo paupertas viſcoſa, prenſu facilis, totoque corpore

ἐξ ἅπαντος τοῦ σώματος ἔχουσα, ὡς πλησιάσαντας εὐθὺς ἔχεσθαι, καὶ μὴ ἔχειν ῥᾳδίως ἀπολυθῆναι, ἀλλὰ μεταξὺ ἤδη φλυαροῦντας ἡμᾶς πρᾶγμα οὐ μικρὸν διέλαθε. Πλοῦτ. τὸ ποῖον; Ερ. ὅτι τὸν θησαυρὸν οὐκ ἐπηγαγόμεθα, οὗπερ ἔδει μάλιστα. Πλοῦ. θάρρει τούτου γε ἕνεκα, ἐν τῇ γῇ αὐτὸν καταλείπων ἀνέρχομαι παρ' ὑμᾶς, ἐπισκήψας ἔνδον μένειν ἐπικλεισάμενον τὴν θύραν, ἀνοίγειν δὲ μηδενὶ, ἢν μὴ ἐμοῦ ἀκούσῃ βοήσαντος. Ερ. οὐκοῦν ἐπιβαίνωμεν ἤδη τῆς Ἀττικῆς, καί μοι ἕπου ἐχόμενος τῆς χλαμύδος, ἄχρις ἂν πρὸς τὴν ἐσχατιὰν ἀφίκωμαι. Πλ. εὖ ποιεῖς ὦ Ερμῆ χειραγωγῶν, ἐπεὶ ἤν γε ἀπολίπῃς με, Ὑπερβόλῳ τάχα ἢ Κλέωνι ἐμπεσοῦμαι περινοστῶν. ἀλλὰ τίς ὁ ψόφος οὗτός ἐστι, καθάπερ σιδήρου πρὸς λίθον; Ερ. ὁ Τίμων οὑτοσὶ σκάπτει πλησίον, ὀρεινὸν καὶ ὑπόλιθον γήδιον. παπαὶ, καὶ ἡ πενία πάρεστι. καὶ ὁ πόνος ἐκεῖνος, ἡ καρτερεία ἥ τε καὶ ἡ σοφία, καὶ ἡ ἀνδρία, καὶ ὁ τοιοῦτος ὄχλος τῶν ὑπὸ τῷ λιμῷ ταττομένων ἁπάντων, πολὺ ἀμείνους τῶν σῶν δορυφόρων. Πλοῦ. τί οὖν οὐκ ἀπαλλαττόμεθα ὦ Ερμῆ τὴν ταχίστην; οὐ γὰρ ἄν τι ἡμεῖς δράσαιμεν ἀξιό-

λογον

corpore mille uncos gerit hamos, ut qui tetigerint, illico hæreant, ne facilè queant avelli. Verùm interea dum nugamur, rem haud parvam omisimus. PLVTVS. Quam? MERCVRIVS. Nempe quia Thesaurum non adduximus, quod vel inprimis erat opus. PLVTVS. Isthac quidam ex parte bono sis animo. Nam non nisi in terra relicto illo ad vos ascendere soleo, jussóque intus manere foribus occlusis, neque cuiquam aperire, nisi me vociferantem audierit. MERCURIUS. Jam igitur Atticam adeamus. Et me sequere chlamydi adhærens, donec extremam viam attigerimus. PLVTVS. Rectè facis Mercuri, cùm me per viam ducis. Etenim si me desereres, forsan oberrans in Hyperbolum aut Cleonem inciderem. Sed quis hic stridor ceu ferri saxo impacti? MERCURIUS. Timon hic est, qui proximè montanum & petricosum fodit solum. Papæ, adest & Paupertas, & Labor ille, tum Robur, Sapientia, Fortitudo, atque id genus aliorum turba quorum omnium agmen fames cogit, longè præstantius quàm tui sint satellites. PLVTVS. Quin igitur quàm ocyssimè discedimus Mercuri? Neque enim ullum

operæ

λογον πρὸς ἄνδρα, ὑπὸ τηλικούτου στρατοπέδου περιεσχημένον. Ερμ. ἄλλως ἔδοξε τῷ Διΐ· μὴ ἀποδειλιῶμεν οὖν. Πενία. ποῖ τοῦτον ἀπάγεις ὦ ἀργειφόντα, χειραγωγῶν; Ερμ. ἐπὶ τουτονὶ τὸν Τίμωνα ἐπεμφθημεν ὑπὸ τοῦ Διός; Πεν. νῦν ὁ Πλοῦτος ἐπὶ Τίμωνα, ὁπότε αὐτὸν ἐγὼ κακῶς ἔχοντα ὑπὸ τῆς τρυφῆς παραλαβοῦσα, τουτοισὶ παραδοῦσα τῇ σοφίᾳ καὶ τῷ πόνῳ, γενναῖον ἄνδρα καὶ πολλοῦ ἄξιον ἀπέδειξα; οὕτως ἄρα εὐκαταφρόνητος ὑμῖν ἡ Πενία δοκῶ, καὶ εὐαδίκητος, ὥσθ' ὃ μόνον κτῆμα εἶχον ἀφαιρεῖσθαί με ἀκριβῶς πρὸς ἀρετὴν ἐξειργασμένον, ἵν' αὖθις ὁ Πλοῦτος παραλαβὼν αὐτὸν ὕβρει καὶ τύφῳ ἐγχειρήσας ὅμοιον τῷ πάλαι, μαλθακὸν καὶ ἀγεννῆ καὶ ἀνόητον ἀποφήνας, ἀποδῷ πάλιν ἐμοὶ ῥάκος ἤδη γεγενημένον; Ερμ. ἔδοξε ταῦτα ὦ Πενία τῷ Διΐ. Πεν. ἀπέρχομαι. καὶ ὑμεῖς δὲ ὦ Πόνε καὶ Σοφία καὶ οἱ λοιποὶ, ἀκολουθεῖτέ μοι. οὗτος δὲ τάχα εἴσεται, οἵαν με οὖσαν ἀπολείψει, ἀγαθὴν συνεργὸν, καὶ διδάσκαλον τῶν ἀρίστων, ᾗ συνὼν ὑγιεινὸς μὲν τὸ σῶμα, ἐρρωμένος δὲ τὴν γνώμην διετέλεσεν, ἀνδρὸς βίον ζῶν, καὶ πρὸς αὐτὸν ἀποβλέπων

τὰ

operæ precium fecerimus cum homine ejusmodi vallato exercitu. MERCURIUS. Se.us visum est Jovi. quare ne metu deterreamur. PAUPER. Quò hunc nunc Argicida manu abducis? MERCUR. Ad hunc Timonem, ad quem à Jove sumus ire jussi. PAUPER. Itáne rursum Plutus ad Timonem? posteaquam ipsum ego malè habentem ob delicias suscepi commendans, quod sapientiæ & labori, strenuum, multíque precii virum reddidi? Adeóne despicienda, injuriæque idonea vobis Paupertas judicor, ut hunc, quæ mihi unica erat possessio eripiatis, iam exactissima cura ad virtutem excultum, ut Plutus hic ubi denuò susceperit per contumeliam & arrogantiam, illi manu injecta, talem reddiderit, qualis erat dudum, mollem & ignavum ac vecordem, rursum mihi restituat, ubi jam nihili factus erit & rejiculus? MERCURIUS. Sic ô Paupertas Jovi placitum est. PAUPER. Equidem abeo: At vos Labor & Sapientia, reliquique consequimini me. Porrò hic brevi cognoscet, qualis in se fuerim, quam nunc relinquet, nēpe adjutrix bona, & rerum optimarum doctrix, quacum donec habuit commercium, sano corpore, valentique animo perseveravit, virilem exigens vitam, &

τὰ δὲ περιττὰ καὶ πολλὰ ταῦτα, ὥσπερ ἐστὶν, ἀλλότρια ὑπολαμβάνων. Ερμ. ἀπέρχονται, ἡμεῖς δὲ προσίωμεν αὐτῷ. Τιμ. τίνες ἐστὲ ὦ κατάρατοι; ἢ τί βουλόμενοι δεῦρο ἥκετε, ἄνδρα ἐργάτην καὶ μισθοφόρον ἐνοχλήσοντες; ἀλλ' οὐ χαίροντες ἄπιτε μιαροὶ πάντες ὄντες. ἐγὼ γὰρ ὑμᾶς αὐτίκα μάλα βάλλων τοῖς βώλοις καὶ τοῖς λίθοις συντρίψω. Ερμ. μηδαμῶς ὦ Τίμων μὴ βάλῃς, οὐ γὰρ ἀνθρώπους ὄντας βαλεῖς, ἀλλ' ἐγὼ μὲν Ερμῆς εἰμι, οὗτος δὲ ὁ Πλοῦτος. ἔπεμψε δὲ ὁ Ζεὺς, ἐπακούσας τῶν εὐχῶν ὥστε ἀγαθῇ τύχῃ δέχου τὸν ὄλβον, ἀποστὰς τῶν πόνων. Τιμ. καὶ ὑμεῖς οἰμώξεσθε ἤδη, καίτοι θεοὶ ὄντες, ὡς φατέ, πάντας γὰρ ἅμα καὶ θεοὺς καὶ ἀνθρώπους μισῶ. τουτονὶ δὲ τὸν τυφλὸν, ὅς τις ἂν ᾖ, καὶ ἐκτρίψειν μοι δοκῶ τῇ δικέλλῃ. Πλουτ. ἀπίωμεν ὦ Ερμῆ πρὸς τοῦ Διὸς, μελαγχολᾶν γὰρ ὁ ἄνθρωπος οὐ μετρίως μοι δοκεῖ. μή τι κακὸν ἀπέλθω προσλαβών. Ερμ. μηδὲν σκαιὸν ὦ Τίμων, ἀλλὰ τὸ πάνυ τοῦτο ἄγριον καὶ τραχὺ καταβαλὼν, προτείνας τὼ χεῖρε λάμβανε τὴν ἀγαθὴν τύχην, καὶ πλούτει πάλιν

καὶ

& ad ſeſe reſpiciens, ſupervacua autem & vulgaria iſta aliena, ita ut ſunt exiſtimans. MERCURIUS. Diſcedunt illi, nos ad eum adeamus. TIMON. Quinam eſtis ô ſceleſti? Aut quid volentes huc véniſtis homini operario mercenarióque negotiũ exhibituri? verùm haud quaquam læti abibitis ſceleſti ut eſtis omnes. Nam ego vos illico glebis & ſaxis petitos comminuam. MERCURIUS. Nequaquam, ô Timon, ne ferito, neque enim feries mortales, verùm ego ſum Mercurius, hic Plutus. Miſit nos Jupiter, votis tuis exauditis. Quare, quod benè vertat, opes accipe, deſiſtens a laboribus. TIMON. Atqui vos jam ploraveritis, etiamſi Dii ſitis, ut dicitis. Siquidem odi pariter omnes tum Deos tum homines. Sed hunc cæcum, quiſquis hic fuerit, mihi certum eſt ligone impacto comminuere. PLUTUS. Abeamus per Jovem Mercuri, quandoquidem hic homò mihi videtur non mediocriter inſanire, ne malo quopiam accepto diſcedam. MERCURIUS. Ne quid ferociter Timon, quin exue potius penitus iſtam ferocitatem, aſperitatemque, ac manibus obviis excipe bonam fortunam, rurſum dives eſto, rurſum

καὶ ἴδῃ Ἀθηναίων τὰ πρῶτα, καὶ ὑπερορᾷ τῶν ἀχαρίστων ἐκείνων μόνος αὐτὸς εὐδαιμονῶν. Τιμ. οὐδὲν ὑμῶν δέομαι, μὴ ἐνοχλεῖτέ μοι, ἱκανὸς ἐμοὶ πλοῦτος ἡ δίκελλα, τὰ δ' ἄλλα εὐδαιμονέστατός εἰμι, μηδενός μοι πλησιάζοντος. Ερμ. οὕτως ὦ τᾶν ἀπανθρώπως; τὸν δὲ φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε. καὶ μὴν εἰκὸς ἦν μισάνθρωπον μὲν εἶναί σε, τοσαῦτα ὑπ' αὐτῶν δεινὰ πεπονθότα, μισόθεον δὲ μηδαμῶς, οὕτως ἐπιμελουμένων σου τῶν θεῶν. Τιμ. ἀλλὰ σοὶ μὲν ὦ Ερμῆ, καὶ τῷ Διὶ πλείστη χάρις τῆς ἐπιμελείας, τουτονὶ δὲ τὸν Πλοῦτον οὐκ ἂν λάβοιμι. Ερμ. τί δή; Τιμ. ὅτι καὶ πάλαι μυρίων κακῶν μοι αἴτιος οὗτος κατέστη, κόλαξί τε παραδοὺς, καὶ ἐπιβούλους ἐπαγαγὼν, καὶ μῖσος ἐπεγείρας, καὶ ἡδυπαθείᾳ διαφθείρας, καὶ ἐπίφθονον ἀποφήνας, τέλος δὲ, ἄφνω καταλιπὼν, οὕτως ἀπίστως καὶ προδοτικῶς. ἡ βελτίστη δὲ πενία πόνοις με τοῖς ἀνδρικωτάτοις καταγυμνάσασα, καὶ μετ' ἀληθείας καὶ παρρησίας προσομιλοῦσα, τά τε ἀναγκαῖα κάμνοντι παρεῖχε, καὶ τῶν πολλῶν ἐκείνων καταφρονεῖν ἐπαίδευεν, ἐξ αὐτοῦ ἐμοῦ τὰς ἐλπίδας

ἀπαρ-

rursum Atheniensium princeps, & despice ingratos istos solus ipse feliciter agens. TIMON. nihil mihi vobis est opus, non obturbate, sat opum mihi ligo, præterea fortunatissimus sum, si nemo propius ad me accesserit. MERCURIUS. Adeóne, quæso inhumaniter? Hæc ego sæva Jovi refero atque immania dicta: atqui par erat forsitan homines tibi habere invisos, ut qui tam multa indigna in te commisissent, deos odio te prosequi nequaquam erat consentaneum, cùm illi tantopere tui curam agant. TIMON. At tibi Mercuri, Jovique quod me respicitis, plurimum equidem habeo gratiam, cæterùm hunc Plutum nequaquam recepero. MERCUR. Quid ita? TIMON. Quoniam pridem innumerabilium malorum hic mihi fuit autor, cum me assentatoribus proderet, insidiatores in me invitaret, conflaret odium, illecebris corrumperet, invidiæ obnoxium redderet, denique cùm me adeò perfidè ac proditoriè destitueret. Contra paupertas optima, me laboribus viro dignissimis exercens mecumque verè & liberè convivens, & quæ opus erant, suppeditavit laboranti, & vulgaria ista contemnere docuit, effecitque ut mihi vitæ spes omnis ex me

ἀποστήσασά μοι τοῦ βίου, καὶ δείξασα
ὅς τις ἦν ὁ πλοῦτος ὁ ἐμός, ὃν οὔτε κό-
λαξ θωπεύων, οὔτε συκοφάντης φο-
βῶν, οὐ δῆμος παροξυνθεὶς, οὐκ ἐκ-
κλησιαστὴς ψηφοφορήσας, οὐ τύραννος
ἐπιβουλεύσας ἀφελέσθαι δύναιτ' ἄν.
ἐρ'ρ'ωμένος τοιγαροῦν ὑπὸ τῶν πόνων,
τουτονὶ τὸν ἀγρὸν φιλοπόνως ἐπεργα-
ζόμενος οὐδὲν ὁρῶν τῶν ἐν ἄστει
κακῶν, ἱκανὰ καὶ διαρκῆ ἔχω τὰ ἄλ-
φιτα παρὰ τῆς δικέλλης. ὥστε παλίν-
δρομος ἄπιθι ὦ Ἑρμῆ, τὸν Πλοῦτον
ἀπαγαγὼν τῷ Διΐ. ἐμοὶ δὲ τοῦτο ἱκα-
νὸν ἦν, πάντας ἀνθρώπους ἡβηδὸν οἰ-
μώζειν ποιῆσαι. Ερμ. μηδαμῶς ὦ 'γα-
θέ. οὐ γὰρ πάντες εἰσὶν ἐπιτήδειοι πρὸς
οἰμωγήν. ἀλλ' ἔα τὰ ὀργίλα ταῦτα,
καὶ μειρακιώδη, καὶ τὸν Πλοῦτον παρά-
λαβε. οὔτε ἀπόβλητά εἰσι τὰ δῶρα
τὰ παρὰ τοῦ Διός. Πλουτ. βούλει ὦ Τί-
μων δικαιολογήσωμαι πρὸς σε, ἢ χα-
λεπαίνεις μοι λέγοντι; Τιμ. λέγε, μὴ
μακρὰ μέν τοι, μὴ δὲ μετὰ προοιμίων,
ὥσπερ οἱ ἐπίτριπτοι ῥήτορες, ἀνέξομαι γά-
σε ὀλίγα λέγοντα, διὰ τὸν Ἑρμῆν τουτονί.
Πλουτ. ἐχρῆν μέν τοι ἴσως καὶ μακρὰ εἰ-
πεῖν οὕτω πολλὰ ὑπὸ σοῦ κατηγορηθέντα.

ὅμως

ſo penderet, demonſtrans quænam eſ-
ent opes veræ meæ, nempe quas neque
dulator aſſentans, neque ſycophanta
ninitans, neque plebs irritata, neque con-
ionator ſuffragiorum autor, neque tyran-
us intentus inſidiis queat eripere. Itaq;
am validus effectus ob laborem, dum
unc agellum graviter exerceo, neque
uicquam eorum quæ ſunt in civitate ma-
rum aſpicio, abundè magnum & ſuffi-
ientem victum mihi ligo ſuppeditat.
Quare tu, Mercuri, quam veniſti viam re-
etiens, recurre, unà tecum Plutum ad-
ucens ad Jovem. Illud mihi ſat fuerit, ſi
ffecerit, ut omnes mortales ab ineunte
tate ejulent. MERCURIUS. Nequaquam
bone, neque enim omnes ad ejulandum
nt commodi. Quin tu iracunda puerili-
que iſta miſſa face, ac Plutum excipe,
on ſunt rejicienda munera, quæ à Jove
oficiſcuntur. PLUTUS. Vin' Timon ut
ntra te partes defendam meas, an gra-
ter feres ſi quid dixero? TIMON. Dici-
, ne multis tamen, neque cum procœ-
iis, quemadmodum perditiſſimi iſti ſo-
nt Oratores. Suſtinebo enim te hujus
ercurii gratia paucis dicentem. PLUT.
tqui multis mihi potius erat dicen-
um, tot nominibus abs te accuſato.

ὅμως δὲ ὅρα, εἴ τι σὺ ὡς φῄς, ἠδίκη-
κα, ὃς τὰ μὲν ἥδιστα ἁπάντων ἄ-
φθονά σοι κατέχεον, τιμῆς καὶ προεδρί-
ας, καὶ στεφάνων, καὶ τῆς ἄλλης τρυφῆ-
περίβλεπτός τέ σοι καὶ ἀοίδιμος διὰ
ἐμὲ ἦσθα, καὶ περισπούδαστος. εἰ δέ τι χα-
λεπὸν ἐκ τῶν κολάκων πέπονθας, ἀν-
αίτιος ἐγώ σοι, μᾶλλον δὲ αὐτὸς
ἠδίκημαι τοῦτο ὑπό σου, διότι με οὕτ-
ως ἀτίμως ὑπέβαλλες ἀνδράσι καταρά-
τοις, ἐπαινοῦσι, καὶ καταγοητεύουσι, κ-
πάντα τρόπον ἐπιβουλεύουσί μοι. καὶ
γε τελευταῖον ἔφησθα, ὡς προδέδω-
κά σε, τοὐναντίον δὲ αὐτὸς ἐγκαλέσαι-
μί σοι πάντα τρόπον ἀπελαθεὶς ὑ-
σοῦ, καὶ ἐπὶ κεφαλὴν ἐξωσθεὶς τῆς
κίας. τοιγαροῦν ἀντὶ μαλακῆς χλαν-
δος, ταύτην τὴν διφθέραν ἡ τιμι-
τάτη σοι Πενία περιτέθεικεν. ὥστε μ-
τυς ὁ Ἑρμῆς οὑτοσὶ, πῶς ἱκέτευον τ-
Δία μηκέθ᾽ ἥκειν παρά σε, οὕτω δυσμεν-
μοι προσενηνεγμένον. Ερμ. ἀλλὰ ν-
ὁρᾷς ὦ Πλοῦτε, οἷος ἤδη γεγένηται; ὥ-
θαῤῥῶν ξυνδιάτριβε αὐτῷ. καὶ σὺ
σκάπτε, ὡς ἔχεις. σὺ δὲ τὸν Θησαυρὸν ὑπ-
αγε τῇ δικέλλῃ. ὑπακούσεται γὰρ ἐμβοήσα-

Attamē vide, num qua in re te quemadmodum ais, læserim? qui quidem dulcissimarum quarumcunque rerum tibi extiterim autor, opifexque autoritatis, primarii loci, coronarum, aliarum item voluptatum, mea opera conspicuus eras, celebris & observandus. Cæterùm si quid molesti ab adulatoribus accidit, non mihi potes imputare, quin ipse magis abs te sum affectus contumelia, propterea quod me tam ignominiosè viris illis execrandis suppeditaris, qui te mirabantur, ac præstigiis dementabant, mihíque modis omnibus insidias struebant. Porrò quod extremo loco dixisti, te à me proditum, desertumq; fuisse, istud criminis in te possum retorquere, cùm ipse sim modis omnibus à te rejectus, præcepsque exactus ex ædibus. Unde pro molli chlamyde sagum pelliceum istud charissima tibi paupertas circumposuit. Itaque testis est mihi hic Mercurius, quantopere Jovem oraverim, ne ad te venirem, adeò hostiliter mihi adversatum. MERCURIUS. At nunc vides Plute, in cujusmodi hominem sit commutatus. Proinde audacter cum illo consuetudinem junge. Tu verò fode ita, ut facis. Tu interim thesaurum sub ligonem adducito. Audiet enim si tu accersiueris.

τί σοι. Τίμ. πειστέον ὦ Ἑρμῆ, καὶ αὖθις πλουτητέον. τί γὰρ ἂν καὶ πάθοι τις, ὁπόταν οἱ θεοὶ βιάζοιντο; πλὴν ὅρα γε, εἰς οἷά με πράγματα ἐμβάλλεις τὸν κακοδαίμονα, ὃς ἄχρι νῦν εὐδαιμονέστατα διάγων, χρυσὸν ἄφνω τοσοῦτον λήψομαι οὐδὲν ἀδικήσας, καὶ τοσαύτας φροντίδας ἀναδέξομαι. Ερμ. ὑπόστηθι ὦ Τίμων δι᾽ ἐμὲ, καὶ εἰ χαλεπὸν τοῦτο, καὶ οὐκ οἰστόν ἐστιν, ὅπως οἱ κόλακες ἐκεῖνοι διαρραγῶσιν ὑπὸ τοῦ φθόνου, ἐγὼ δὲ ὑπὲρ τὴν αἴτνην ἐς τὸν οὐρανὸν ἀναπτήσομαι. Πλ. ὁ μὲν ἀπελήλυθεν, ὡς δοκεῖ. τεκμαίρομαι γὰρ τῇ εἰρεσίᾳ τῶν πτερῶν, σὺ δὲ αὐτοῦ περίμενε. ἀναπέμψω γάρ σοι τὸν θησαυρὸν ἀπελθὼν, μᾶλλον δὲ παῖε. σὲ φημι θησαυρὲ χρυσοῦ, ὑπάκουσον Τίμωνι τουτῳ, καὶ παράσχες σεαυτὸν ἀνελέσθαι. σκάπτε ὦ Τίμων βαθείας καταφέρων, ἐγὼ δὲ ὑμῖν ὑποστήσομαι. Τίμ. ἄγε δὴ ὦ δίκελλα, νῦν μοι ἐπίρρωσον σεαυτὴν καὶ μὴ κάμῃς ἐκ τοῦ βάθους τὸν θησαυρὸν ἐς τοὐμφανὲς προκαλουμένη. ὦ Ζεῦ τεράστιε, καὶ φίλοι κορύβαντες, καὶ Ἑρμῆ κερδῶε, πόθεν χρυσίον τοσοῦτον; ἦ που ὄναρ ταῦτα ἐστι; δέδια γοῦν, μὴ ἄνθρακας εὕρω ἀνεγρόμενος. ἀλλὰ μὴν χρυσίον ἐστὶν ἐπίσημον,

ὑπέρυ-

TIMON. Parendum est Mercuri, rursusque ditescendum. Quid enim facias cùm dii compellant? tamen vide, in quas turbas me miserum conjicias, qui quidem cùm ad hunc usque diem felicissimè vixerim, tantum auri repentè sum accepturus, nihil commeritus mali, tantumque curarum suscepturus. MERCURIUS. Sustine Timon, mea gratia, tametsi grave est istuc, atque intolerandum, quo videlicet palpones illi præ invidia rumpantur. Ego porrò superata Ætna in cœlum revolavero. PLUTUS. Abiit ille quidem, sicut apparet, nam ex alarum remigio facio conjecturam. Tu verò hîc opperire, siquidem digressus thesaurum ad te transmittam, sed feri fortius: tibi loquor auri Thesaure, Timoni huic audiens esto, offérque temet eruendum. Fode Timon, altiùs impingens. Cæterùm ego à vobis digredior. TIMON. Age jam, ô ligo, nunc mihi tuas vires explica, neque defatigare, dum ex abdito Thesaurum in apertum evocaris. Hem prodigiorum autor Jupiter, amici Corybantes, ac lucrifer Mercuri, undenam auri tantum? Num somnium hoc est? Metuo ne carbones reperturus sim experrectus. Atqui aurũ profectò est insigne,

 fulvum,

ὑπέρυθρον, βαρὺ, καὶ τὴν πρόσοψιν ὑπερήδιστον. ὦ χρυσὲ, δεξίωμα κάλλιστον βροτοῖς. αἰθόμενον γὰρ πῦρ ἅτε διαπρέπεις καὶ νύκτωρ καὶ μεθ' ἡμέραν. ἐλθὲ ὦ φίλτατε καὶ ἐρασμιώτατε, ὦ Μίδα καὶ Κροῖσε, καὶ τὰ ἐν Δελφοῖς ἀναθήματα, ὡς οὐδὲν ἄρα ἦτε πρὸς Τίμωνα καὶ τὸν Τίμωνος πλοῦτον, ᾧ γε οὐδὲ βασιλεὺς ὁ Περσῶν ἴσος. ὦ δίκελλα καὶ φιλτάτη διφθέρα. ὑμᾶς μὲν τῷ Πανὶ τούτῳ ἀναθεῖναι καλόν. αὐτὸς δὲ ἤδη πᾶσαν πριάμενος τὴν ἐσχατιὰν, πυργίον οἰκοδομησάμενος ὑπὲρ τοῦ θησαυροῦ μόνῳ ἐμοὶ ἱκανὸν ἐνδιαιτᾶσθαι, τὸν αὐτὸν καὶ τάφον ἀποθανὼν ἕξειν μοι δοκῶ. δεδόχθω δὲ ταῦτα, καὶ νενομοθετήσθω πρὸς τὸν ἐπίλοιπον βίον, ἀμιξία πρὸς ἅπαντας καὶ ἀγνωσία καὶ ὑπεροψία. φίλος δὲ ἢ ξένος, ἢ ἑταῖρος, ἢ ἐλέου βωμὸς, ὕθλος πολὺς, καὶ τὸ οἰκτεῖραι δακρύοντα, ἢ ἐπικουρῆσαι δεομένῳ, παρανομία καὶ κατάλυσις τῶν ἐθῶν. μονήρης δὲ ἡ δίαιτα, καθάπερ τοῖς λύκοις, καὶ φίλος εἷς Τίμων, οἱ δὲ ἄλλοι πάντες ἐχθροὶ καὶ ἐπίβουλοι, καὶ τὸ προσομιλῆσαί τινι αὐτῶν μίασμα. καὶ εἴ τινα ἴδω μόνον, ἀποφρὰς ἡ ἡμέρα, καὶ ὅλως ἀνδριάντων

λιθί-

fulvum, grave, & aspectu multò jucundissimú, Pulcherrima Aurum faustitasmortalibus. Quippe quòd ignis in morem ardes, noctesque & dies renides. Ades ô mihi charissimum & desideratissimum, ô Mida, Crœseque, ac munera Delphico in templo dicata, ut nihil eratis, si cum Timone, cúmque Timonis opibus conferamini, cui ne Persarum quidem rex par est. ô ligo, sagum charissimum, vos quidem Pani huic reponere commodum. At ego quàm maximè semotum mercatus agrum, turriculáque servandi auri gratia constructa, uni, mihi affatim vixero, sepulchrum item inibi mihi defuncto, parare est sententia. Hæc igitur decreta sunto, placitáque in reliquum vitæ sejunctio, ignorantia, fastidium erga mortales omnes. Porrò amicus, hospes, sodalis, aut ara misericordiæ meræ nugæ. Tum commiserari lachrymantem, suppeditare egentibus, iniquitas, ac morum subversio: at vita solitaria mihi sit, qualis est lupis: vnus sibi amicus Timon, cæteri omnes hostes, & insidiarum machinatores. Cum horum quopiam congredi, piaculum, adeò ut si quem aspexero duntaxat, inauspicatus sit ille dies. In summa, non alio nobis habeatur loco quàm signa

 saxea,

λιθίνων ἢ χαλκῶν μηδὲν ἡμῖν διαφερέτωσαν, καὶ μήτε κήρυκα δεχώμεθα παρ' αὐτῶν, μήτε σπονδὰς σπενδώμεθα, ἡ ἐρημία δὲ ὅρος ἔστω πρὸς αὐτούς. φυλέται δὲ καὶ φράτορες καὶ δημόται, καὶ ἡ πατρὶς αὐτή, ψυχρὰ καὶ ἀνωφελῆ ὀνόματα, καὶ ἀνοήτων ἀνδρῶν φιλοτιμήματα, πλουτείτω δὲ Τίμων μόνος, καὶ ὑπεροράτω ἁπάντων, καὶ τρυφάτω μόνος καθ' ἑαυτόν, κολακείας καὶ ἐπαίνων φορτικῶν ἀπηλλαγμένος, καὶ θεοῖς θυέτω, καὶ εὐωχείτω, μόνος ἑαυτῷ γείτων καὶ ὅμορος, ἐκσείων τῶν ἄλλων, καὶ ἅπαξ ἑαυτὸν δεξιώσασθαι δεδόχθω, ἢν δέῃ ἀποθανεῖν, ἢ αὐτῷ στέφανον ἐπενεγκεῖν, καὶ ὄνομα μὲν ἔστω μισάνθρωπος ἥδιστον. τοῦ τρόπου δὲ γνωρίσματα, δυσκολία καὶ τραχύτης καὶ σκαιότης καὶ ὀργὴ καὶ ἀπανθρωπία. εἰ δέ τινα ἴδοιμι ἐν πυρὶ διαφθειρόμενον καὶ σβεννύναι ἱκετεύοντα, πίττῃ καὶ ἐλαίῳ κατασβεννύναι· καὶ ἤν τινα τοῦ χειμῶνος ὁ ποταμὸς παραφέρῃ, ὁ δὲ τὰς χεῖρας ὀρέγων ἀντιλαβέσθαι δέηται, ὠθεῖν καὶ τοῦτον ἐπὶ κεφαλὴν πίπτοντα, ὡς μηδὲ ἀνακύψαι δυνηθείη. οὕτω γὰρ ἂν τὴν ἴσην ἀπολάβοιεν. εἰσηγήσατο τὸν νόμον Τίμων Ἐχεκρατίδης Κολυττεύς, ἐπεψήφισε τῇ ἐκκλησίᾳ Τίμων ὁ αὐτός, εἶεν, ταῦτα ἡμῖν δεδόχθω, καὶ ἀνδρικῶς ἐμμένωμεν αὐτοῖς.

ſaxea, æreáve, neque fœcialem ab illis miſſum recipiamus, neque fœdera feriamus. Solitudo terminus eſto. Cæterùm tribules, cognati, populares, poſtremò patria ipſa, frigida quædam & ſterilia nomina, & inſipientium virorum pretia: ſolus Timon dives eſto, deſpiciat omnes, ſolus ipſe ſecum oblectetur, liber ab aſſentationibus, & oneroſis laudibus. Dijs ſacra faciat, epuletur ſolus, ſibiipſi vicinus, ſibi particeps, excutiens ſeſe ab aliis. Ac ſemel decretum eſto, ut unus ſeipſum comiter accipiat, ſi moriendum ſit, aut neceſſe habeat ſibiiſi coronam admovere. Nullumque nomen ſit dulcius quàm Miſanthropi, id eſt, hominum oſoris. Morum autem notæ; difficultas, aſperitas, feritas, iracundia, inhumanitas. Quod ſi quem conſpexero incendio conflagrantem, obteſtantem quo reſtringuam, pice oleoque reſtringuere: rurſum ſi quem flumen undis abſtulerit, iſque manus porigens imploret, ut retineatur, hunc quoque demerſo propellere, ne poſſit emergere, hunc ad modum par pari relaturus eſt. Hanc legem Timon tulit Echecratides Colyttenſis, & concionis ſubſcripſit ſuffragiis, idem ille Timon. Age hæc decreta ſunto, & pro virili immoremur

αὐτοῖς. πλὴν ἀλλὰ περὶ πολλοῦ ἂν ἐποιησάμην ἅπασι γνώριμά πως ταῦτα γενέσθαι, διότι ὑπερπλουτῶ, ἀγχόνη γὰρ ἂν τὸ πρᾶγμα γένοιτο αὐτοῖς. καὶ τί τοῦτο; φεῦ τοῦ τάχους, πανταχόθεν συνθέουσι, κεκονιμένοι καὶ πνευστιῶντες, οὐκ οἶδα, ὅθεν ὀσφραινόμενοι τοῦ χρυσίου. πότερον οὖν ἐπὶ τὸν πάγον τοῦτον ἀναβὰς ἀπελαύνω αὐτοὺς τοῖς λίθοις ἐξ ὑπερδεξίων ἀκροβολιζόμενος, ἢ τό γε τοσοῦτον παρανομήσομεν εἰσάπαξ αὐτοῖς ὁμιλήσαντες, ὡς πλέον ἀνιῷντο παρορώμενοι; τοῦτο οἶμαι καὶ ἄμεινον· ὥστε δεχώμεθα ἤδη αὐτοὺς, ὑποστάντες. φέρε ἴδω, τίς ὁ πρῶτος αὐτῶν οὗτός ἐστι; Γναθωνίδης ὁ κόλαξ, ὁ πρῴην ἔρανον αἰτήσαντί μοι ὀρέξας τὸν βρόχον, πίθους ὅλους παρ' ἐμοὶ πολλάκις ἐμημεκώς. ἀλλ' εὖ γε ἐποίησεν ἀφικόμενος, οἰμώξεται γὰρ πρὸ τῶν ἄλλων. Γν. οὐκ ἐγὼ ἔλεγον, ὡς οὐκ ἀμελήσουσι Τίμωνος ἀγαθοῦ ἀνδρὸς οἱ θεοί; χαῖρε Τίμων εὐμορφότατε καὶ ἥδιστε καὶ συμποτικώτατε. Τι. νὴ καὶ σύ γε ὦ Γναθωνίδη, γυπῶν ἁπάντων βορώτατε, καὶ ἀνθρώπων ἐπιτριπτότατε. Γν. ἀεὶ φιλοσκώμμων σύ γε. ἀλλὰ ποῦ τὸ συμπόσιον; ὡς καινόν τί σοι ᾆσμα τῶν νεοδιδάκτων διθυράμβων ἥκω κομίζων. Τι. καὶ μὴν ἐλεγεῖά γε ᾄσῃ μάλα περιπαθῶς

ὑπὸ

remur eis. Cæterùm magno emerim, ut id omnibus innotescat, quod opibus abúdo. Nam illa res illos præfocaverit. Sed quid illud? Hem quæ trepidatio? undique concurrunt, pulverulenti atque anheli, haud scio, unde aurum odorati. Utrum igitur hoc conscenso collo saxis eos abigo è sublimi dejaculans, an hac tantum in re legem violabimus, ut semel cum illis congrediamur, ut magis angantur, fastiditi, repulsique? Ita satius esse duco. Itaque subsistamus, quo illos excipiamus. Age prospiciam, primus eorum iste quis est? Nempe Gnatonides adulator, qui mihi nuper cœnam petenti funem porrexit, cum apud me sæpenumero solida dolia vomuerit. Sed bene est quod ad me venit, nam prius omnium vapulabit. GNAT. Annon dixi Timonem virum bonum non neglecturos esse Deos? Salve Timon formosissime, jucundissime, convivator bellissime. TIMON. Scilicet & tu Gnatonides, vulturum omnium voracissime, & hominum perditissime. GNAT. Semper tibi grata dicacitas. Sed ubi compotamus? Nam novam tibi adfero cantilenam, ex his quos nuper didici, dithyrambis. TIMON. Atqui elegos canes admodum miserabiles,

ab-

ὑπὸ παιδὸς τῇ δικέλλῃ. Γν. τί τοῦτο; παίεις ὦ Τίμων; μαρτύρομαι· ὦ Ἡράκλεις, ἰοὺ ἰού, προκαλοῦμαί σε τραύματος εἰς Ἄρειον πάγον. Τι. καὶ μὴν ἄν γε μικρὸν ἐπιβραδύνῃς, φόνου τάχα προκεκλήσῃ με. Γν. μηδαμῶς, ἀλλὰ σύ γε πάντως τὸ τραῦμα ἴασαι, μικρὸν ἐπιπάσας τοῦ χρυσίου, δεινῶς γὰρ ἴσχαιμόν ἐστι τὸ φάρμακον. Τι. ἔτι μένεις; Γν. ἄπειμι, σὺ δὲ οὐ χαιρήσεις οὕτω σκαιὸς ἐκ χρηστοῦ γενόμενος. Τι. τίς οὗτός ἐστιν ὁ προσιὼν, ὁ ἀναφαλαντίας; Φιλιάδης κολάκων ἁπάντων ὁ βδελυρώτατος. οὗτος δὲ παρ' ἐμοῦ ἀγρὸν ὅλον λαβὼν καὶ τῇ θυγατρὶ προῖκα δύο τάλαντα μισθὸν τοῦ ἐπαίνου, ὁπότε ᾄσαντά με πάντων σιωπώντων μόνος ὑπερεπῄνεσεν, ἐπομοσάμενος ᾠδικώτερον εἶναι τῶν κύκνων, ἐπειδὴ νοσοῦντα πρώην εἶδέ με καὶ προσῆλθον ἐπικουρίας δεόμενος, πληγὰς ὁ γενναῖος προσενέτεινε. Φιλ. ὦ τῆς ἀναισχυντίας, νῦν Τίμωνα γνωρίζετε; νῦν Γναθωνίδης φίλος καὶ συμπότης; τοιγαροῦν δίκαια πέπονθεν οὕτως ἀχάριστος ὤν. ἡμεῖς δὲ οἱ πάλαι ξυνήθεις καὶ ξυνέφηβοι, καὶ δημόται, ὅμως μετριάζομεν, ὡς μὴ ἐπιπηδᾶν δοκῶμεν. χαῖρε ὦ δέσποτα,

καὶ

ab hoc doctus ligone. GNAT. Quid istuc? feris, ô Timon? Attestor, ô Hercules, hei hei in jus te voco apud Areopagitas, qui vulnus dederis. TIMON. Atqui si cunctare paulisper, mox cædis me reum ages. GNAT. Nequaquam, quin tu planè vulneri medere, paululo auri inspersо. Mirum enim in modum sanguinem sistit hoc remedium. TIMON. Etiam manes? GNAT. Abeo & tibi malè sit, qui quidem ex viro commodo tam sævus factus sis. TIMON. Quis hic est qui accedit, recalvaster ille? Philiades, assentatorum omnium flagitiosissimus. Hic cùm à me solidum acceperit fundum, tum filiæ in dotem talenta duo, laudationis præmium, cùm me canentem reliquis silentibus omnibus solus majorem in modum extulisset, dejerans me vel oribus magis canorum, ubi ægrotantem antea vidit me, & adieram oratutus ut mei curam ageret, plagas etiam egregius ille vir impegit. PHIL. O impudentiam, nunc demum Timonem agnoscitis? nunc Gnatonides amicus & conviva? enimvero habet ille digna se, quandoquidem immemor est atque ingratus. At nos qui jam olim convictores sumus, æquales, ac populares, tamen modestè agimus, ne insilire videamur. Salve here,

fa

καὶ ὅπως τοὺς μιαροὺς τούτους κόλακας, φυλά-
ξῃ τοὺς ἐπὶ τῆς τραπέζης μόνον, τὰ ἄλ-
λα δὲ κοράκων οὐδὲν διαφέροντας. οὐκ ἐπ-
πιστευτέα τῶν νῦν οὐδενί. πάντες ἀχάρι-
στοι καὶ πονηροί. ἐγὼ δὲ τάλαντόν σοι κο-
μίζων, ὡς ἔχοις πρὸς τὰ κατεπείγοντα
χρῆσθαι, καθ᾽ ὁδὸν ἤδη πλησίον ἤκουσα,
ὡς πλουτοίης ὑπερμεγέθη τινὰ πλοῦτον,
ἥκω τοιγαροῦν ταῦτά σε νουθετήσων· καί
τοι σύ γε οὕτω σοφὸς ὢν, οὐδὲν ἴσως τῶν
παρ᾽ ἐμοῦ λόγων, ὃς καὶ τῷ Νέστορι τὸ
δέον παραινέσειας ἄν. Τίμ. ἔσται ταῦτα
ὦ Φιλιάδη, πλὴν ἀλλὰ πρόσιθι, ὡς καὶ
σὲ φιλοφρονήσωμαι τῇ δικέλλῃ. Φι. ἄν-
θρωποι, κατέαγα τοῦ κρανίου ὑπὸ τοῦ
ἀχαρίστου, διότι τὰ συμφέροντα ἐνουθέτουν
αὐτόν. Τί. ἰδοὺ τρίτος οὗτος ὁ ῥήτωρ
Δημέας προσέρχεται, ψήφισμα ἔχων ἐν
τῇ δεξιᾷ, καὶ συγγενὴς ἡμέτερος εἶναι
λέγων. οὗτος ἑκκαίδεκα παρ᾽ ἐμοῦ τάλαν-
τα μιᾶς ἡμέρας ἐκτίσας τῇ πόλει, κα-
ταδεδίκαστο γὰρ, καὶ ἐδέδετο οὐκ ἀποδι-
δοὺς, κἀγὼ ἐλεήσας ἐλυσάμην αὐτὸν, ἐ-
πειδὴ πρώην ἔλαχε τῇ Ἐρεχθηΐδι φυλῇ
διανέμειν τὸ θεωρικὸν, κἀγὼ προσῆλθον
αἰτῶν τὸ γιγνόμενον, οὐκ ἔφη γνωρί-
ζειν πολίτην ὄντα με. Δημ. χαῖρε ὦ
Τίμων, τὸ μέγα ὄφελος τοῦ γένους,

τὸ

fac ut istos adulatores sacrilegos observes, qui nusquam adsunt nisi in mensa, præterea, à corvis nihil differunt. Neque posthac hujus ætatis mortalium ulli fidendum est. Omnes ingrati, & scelesti. At ego cùm tibi talentum adducerem, quo posses ad ea quæ velles uti, in via accepi, te summas quasdam opes esse nactum. Proinde accessi his de rebus admoniturus te, quanquam tibi forsitan me monitore nihil erat opus, viro nimirum adeò prudenti, ut Nestori ipsi, si necesse est, consilium dare queas. TIMON. Ita fiet Philiades, sed age, accede quo te ligone comiter accipiam. PHIL. Homines, confregit cranium hic ingratus, propterea quod eum ea quæ in rem illius erant, admonui. TIMON. Ecce tertius huc orator Demeas se recipit, tabulas dextra gestans; atque se mihi cognatum esse. Hic una die de meo sedecim talenta civitati dependit, nam damnatus erat, ac vinctus. at cùm solvendo non esset, ego misertus illum redemi. Porrò cùm illi fortè obvenisset, ut Erechtheidi tribui distribueret ærarium, atque ego audiens id quod ad me redibat, poscerem, negabat se civem nosse me. DEM. Salve Timon, præcipuum generis tui præsidium,

τὸ ἔρεισμα τῶν Ἀθηναίων, τὸ πρόβλη-
μα τῆς Ἑλλάδος. καὶ μὴν πάλαι σοι ὁ δῆ-
μος ξυνειλεγμένος, καὶ αἱ βουλαὶ
ἀμφότεραι περιμένουσι. πρότερον δὲ
ἄκουσον τὸ ψήφισμα ὃ ὑπὲρ σοῦ γέγρα-
φα. Ἐπειδὴ Τίμων ὁ Ἐχεκρατίδου Κο-
λυττεύς, ἀνὴρ οὐ μόνον καλὸς κἀγαθός,
ἀλλὰ καὶ σοφὸς, ὡς οὐκ ἄλλος ἐν τῇ
Ἑλλάδι, παρὰ πάντα χρόνον διατελεῖ,
τὰ ἄριστα πράττων τῇ πόλει, νενίκηκε
δὲ πὺξ καὶ πάλην καὶ δρόμον ἐν ὀλυμ-
πίᾳ μιᾶς ἡμέρας, καὶ τελείῳ ἅρματι,
καὶ συνωρίδι πωλικῇ. Τίμ. ἀλλ᾽ οὐδὲ
ἐθεώρησα πώποτε εἰς ὀλυμπίαν. Δημ.
τί οὖν; θεωρήσεις ὕστερον. τὰ τοιαῦτα δὲ
πολλὰ προσκεῖσθαι ἄμεινον. καὶ ἠρίστευσε
δὲ ὑπὲρ τῆς πόλεως πέρυσι πρὸς Ἀχαρ-
νέας, καὶ κατέκοψε πελοποννησίων δύο
μοίρας. Τίμ. πῶς; διὰ γὰρ τὸ μὴ ἔχειν
ὅπλα, οὐδὲ προεγράφην ἐν τῷ κατα-
λόγῳ. Δη. μέτρια τὰ περὶ σαυτοῦ λέ-
γεις. ἡμεῖς δὲ ἀχάριστοι ἂν εἴημεν ἀ-
μνημονοῦντες. ἔτι δὲ ψηφίσματα γράφων,
καὶ συμβουλεύων, καὶ στρατηγῶν, οὐ μι-
κρὰ ὠφέλησε τὴν πόλιν. ἐπὶ τούτοις ἅ-
πασι δεδόχθαι τῇ βουλῇ καὶ τῷ δή-
μῳ, καὶ τῇ ἡλικίᾳ κατὰ φυλάς,
καὶ

ſidium, fulcimentum Athenienſium, propugnaculum Græciæ. Profectò jamdudum te populus frequens, & utraque curia operitur. Sed prius decretum audi, quod de te conſcripſi. Quandoquidem Timon Echecratidæ filius, Colyttenſis, vir non modò probus & integer, verùm etiam ſapiens, quantum alius in Græcia nemo, nunquam per omnem vitam deſtitit optime de Republica mereri, vicit autem in Olympicis pugil & lucta curſuque die eodem, ad hæc ſolenni quadriga, equeſtrique certamine. TIMON. At ego ne ſpectator quidem unquam in Olympicis ſedi. DEMEA. Quid tum? ſpectabis poſthac. ſed iſta communia addi ſatius eſt. Tum anno ſuperiore apud Acharnenſes pro Republica fortiſſimè ſe geſſit, & Peloponnenſium duas acies concîdit. TIMON. Qua ratione? Quippe qui nec unquam arma geſſerim, neque unquam militiæ dederim nomen. DEMEA. Modeſtè equidem de te ipſo loqueris, nos tamen ingrati futuri ſumus, niſi meminerimus. Præterea ſcribendis plebiſcitis, & in conſultationibus, & in adminiſtrandis bellis non mediocrem utilitatem attulit Reipublicæ. His de cauſis omnibus viſum eſt, curiæ, plebi, magiſtratibus tributim, plebeiis ſin-

καὶ τοῖς δήμοις ἰδίᾳ, καὶ κοινῇ πᾶσι, χρυσοῦν ἀναστῆσαι τὸν Τίμωνα παρὰ τὴν Ἀθηνᾶν ἐν τῇ ἀκροπόλει, κεραυνὸν ἐν τῇ δεξιᾷ ἔχοντα, καὶ ἀκτῖνας ἐπὶ τῇ κεφαλῇ, καὶ στεφανῶσαι αὐτὸν χρυσοῖς στεφάνοις ἑπτὰ, καὶ ἀνακηρυχθῆναι τοὺς στεφάνους σήμερον Διονυσίοις τραγῳδοῖς καινοῖς. ἀχθῆναι γὰρ δι' αὐτὸν δεῖ τήμερον τὰ Διονύσια. εἶπε τὴν γνώμην Δημέας ὁ ῥήτωρ συγγενὴς αὐτοῦ, ἀγχιστεὺς, καὶ μαθητὴς αὐτοῦ ὤν. καὶ γὰρ ῥήτωρ ἄριστος ὁ Τίμων. καὶ τὰ ἄλλα πάντα ὁπόσα ἂν ἐθέλοι. τουτὶ μὲν οὖν σοι τὸ ψήφισμα. ἐγὼ δέ σοι καὶ τὸν υἱὸν ἐβουλόμην ἀγαγεῖν παρά σε, ὃν ἐπὶ τῷ σῷ ὀνόματι Τίμωνα ὠνόμακα. Τίμ. πῶς ὦ Δημέα, ὃς οὐδὲ γεγάμηκας, ὅσα γε καὶ ἡμᾶς εἰδέναι; Δη. ἀλλὰ γαμῶ, ἢν διδῷ θεὸς ἐς νέωτα, καὶ τὸ γεννηθησόμενον, ἄρρεν γὰρ ἔσται, Τίμωνα ἤδη καλῶ. Τίμ. οὐκ οἶδα, εἰ γαμήσεις ἔτι ὦ οὗτος, τηλικαύτην παρ' ἐμοῦ πληγὴν λαμβάνων. Δη. οἴμοι, τί τοῦτο; τυραννίδι Τίμων ἐπιχειρεῖς καὶ τύπτεις τοὺς ἐλευθέρους, οὐ καθαρῶς ἐλεύθερος, οὐδ' ἀστὸς ὤν, ἀλλὰ δώσεις ἐν τάχει τὴν δίκην, τάτε ἄλλα, καὶ ὅτι τὴν ἀκρόπολιν ἐνέπρησας. Τίμ. ἀλλ' οὐκ ἐμπέπρησται ὦ μιαρὲ

ἡ

singulatim communiter universis, aureum statuere Timonem juxta Palladem in arce, fulmen dextra tenentem, radiis tempora ambientibus, utque septem aureis coronis coronetur, & promulgari coronas hodie Dionysiis tragœdis novis. Agi enim per eum oportet hodie Dionysia. Dixit hoc suffragium Demeas orator, propterea quod cognatus illius propinquus, ac discipulus ejus sit. Nam & orator optimus Timon, præterea quicquid voluerit. Hoc igitur tibi suffragium, sed utinam & filium meum ad te pariter adduxissem, quem tuo nomine Timonem appellavi. TIMON. Qui potes Demea, cùm ne uxorem quidem duxeris unquam, quantum nobis scire licuit? DEME. At ducam, novo ineunte anno, si Deus permiserit, quódque erit natum (erit autem masculus) Timonem nuncupabo. TIMON. An uxorem tu sis ducturus equidem haud scio, tanta à me plaga accepta. DEMEA. Hei mihi! Quid hoc est rei? Tyrannidem Timon occupas, pulsasque eos qui sunt ingenui, ipse nec ingenuus planè, nec civis? verùm propediem pœnas daturus, cum aliis nominibus, tum quod incenderis arcem. TIMON. Atqui non conflagravit arx sceleste. Proinde

ἡ ἀκρόπολις, ὥστε δῆλος εἶ συκοφαντῶν. ΔΗ. ἀλλὰ καὶ πλουτεῖς. τὸν ὀπισθόδομον διορύξας. ΤΙΜ. οὐ διορώρυκται οὐδὲ οὗτος, ὥστε ἀπίθανά σου καὶ ταῦτα. ΔΗ. διορυχθήσεται μὲν ὕστερον. ἤδη δὲ σὺ πάντα τὰ ἐν αὐτῷ ἔχεις. ΤΙΜ. οὐκοῦν καὶ ἄλλην λάμβανε. ΔΗΜ. οἴμοι τὸ μετάφρενον. ΤΙΜ. μὴ κέκραχθι. κατοίσω γάρ σοι καὶ τρίτην, ἐπεὶ καὶ γελοῖα πάμπαν πάθοιμι, δύο μὲν Λακεδαιμονίων μοίρας κατακόψας ἄνοπλος, ἓν δὲ μιαρὸν ἀνθρώπιον μὴ ἐπιτρίψας. μάτην γὰρ ἂν εἴην καὶ νενικηκὼς ὀλύμπια πὺξ καὶ πάλην. ἀλλὰ τί τοῦτο; οὐ Θρασυκλῆς ὁ φιλόσοφος οὗτός ἐστιν; οὐ μὲν οὖν ἄλλος. ἐκπετάσας γοῦν τὸν πώγωνα, καὶ τὰς ὀφρῦς ἀνατείνας, καὶ βρενθυόμενός τι πρὸς αὑτὸν ἔρχεται, τιτανῶδες βλέπων, ἀνασεσοβημένος τὴν ἐπὶ τῷ μετώπῳ κόμην, Αὐτοβορέας τις ἢ Τρίτων, οἵους ὁ Ζεῦξις ἔγραψεν. οὗτος ὁ τὸ σχῆμα εὐσταλὴς, καὶ κόσμιος τὸ βάδισμα, καὶ σωφρονικὸς τὴν ἀναβολὴν, ἕωθεν μυρία ὅσα περὶ ἀρετῆς διεξιὼν, καὶ τῶν ἡδονῇ χαιρόντων κατηγορῶν, καὶ τὸ ὀλιγαρκὲς ἐπαινῶν. ἐπειδὴ λουσάμενος ἀφίκοιτο ἐπὶ τὸ δεῖπνον, καὶ ὁ παῖς μεγάλην

τὴν

e apertè calumniaris. DEMEA. Sed & ives es, posticum (arcis Atheniensis) erfodiens. TIMON. Neque hoc perossium est, unde ne hæc quidem probabiiter abs te dicuntur. DEMEA. Verùm efodietur posthac, sed tu interim omnia uæ in ea condita, possides. TIMON. Alteram itaque plagam accipe. DEMEA. Hei scapulis meis. TIMON. Ne vociferare, lioqui & tertiam tibi illidam. Etenim es planè ridicula mihi acciderit, si, cum nermis duas Lacedæmoniorum acies fuerim, unum scelestum hominem non rotrivero. Tum frustra vicerim in Olymiis, & pugil & palæstrites. Sed quid hoc? n non philosophus Thrasycles hic est? Profectò ipsus est, promissa barba, eretisq; superciliis & magnum quiddam seum murmurans accedit; Titanicum obtuns, cæsariem per scapulas fluentem venilans, alter quidam Boreas aut Triton, uales eos Zeuxis depinxit. Hic sedatum tis habitum præ se ferens, incessu modeatus, amictu modestus, mane mirum uàm multa de virtute disserit, damnans os, qui voluptate capiuntur, & frugaliatem laudans: at ubi lotus devenit ad œnam, puerque ingentem illi calicem orrexit (meraciore autẽ maximè gaudet) per-

τὴν κύλικα ὀρέξειεν αὐτῷ (τῷ ζωροτέρῳ δὲ χαίρει μάλιστα) καθάπερ τῆς λήθης ὕδωρ ἐκπιὼν, ἐναντιώτατα ἐπιδείκνυται τοῖς ἑωθινοῖς ἐκείνοις λόγοις, προαρπάζων ὥσπερ ἰκτῖνος τὰ ὄψα, καὶ τὸν πλησίον παραγκωνιζόμενος, καρύκης τὸ γένειον ἀνάπλεως, κυνηδὸν ἐμφορούμενος ἐπικεκυφὼς, καθάπερ ἐν ταῖς λοπάσι τὴν ἀρετὴν εὑρήσειν προσδοκῶν, ἀκριβῶς τὰ τρύβλια τῷ λιχανῷ ἀποσμήχων, ὡς μηδὲ ὀλίγον τοῦ μυττωτοῦ καταλίποι, μεμψίμοιρος ἀεὶ ὡς τὸν πλακοῦντα ὅλον, ἢ τὸν ὗν μόνος τῶν ἄλλων λάβοι, ὅτι περ λιχνείας καὶ ἀπληστίας ὄφελος. μέθυσος καὶ πάροινος, οὐκ ἄχρις ᾠδῆς καὶ ὀρχηστύος μόνον, ἀλλὰ καὶ λοιδορίας καὶ ὀργῆς προσέτι. καὶ λόγοι πολλοὶ ἐπὶ τῇ κύλικι. τότε δὴ καὶ μάλιστα περὶ σωφροσύνης καὶ κοσμιότητος, καὶ ταῦτά φησιν, ἤδη ὑπὸ τοῦ ἀκράτου πονηρῶς ἔχων, καὶ ὑποτραυλίζων γελοίως. εἶτα ἔμετος ἐπὶ τούτοις, καὶ τὸ τελευταῖον, ἀράμενοί τινες ἐκφέρουσιν αὐτὸν ἐκ τοῦ συμποσίου. πλὴν ἀλλὰ καὶ νήφων οὐδενὶ τῶν πρωτείων παραχωρήσειεν ἂν ψεύσματος ἕνεκα, ἢ θρασύτητος,

ἢ

perinde ut Lethes aquam ebibens, à dilucularii illis diſputationibus diverſiſſima quæ ſunt exhibet, dum milvi inſtar præripit obſonia, & proximum cubito oppoſito arcens, mento interim condimentis oppleto, dum canum ritu ingurgitat, prono incumbens corpore, perinde atque in patinis virtutem inventurum ſeſe ſperet, dúmque uſque adeò, diligenter catinos extergit indice digito, ut ne paululum quidem reliquiarum ſinat adhærere, nunquam non querulus, tanquam deteriorem partem acceperit, vel ſi totam placentam, aut ſuem ſolus omnium accipit, qui quidem edacitatis & inſatiabilitatis eſt fructus, temulentus, vinoque bacchatus, non ad cantum modo, ſaltationemque, verùm ad convicium uſque ad iracundiam. Adhæc multus inter pocula ſermo (tum enim vel maximè) de temperantia, ſobrietatéque: atque iſta quidem loquitur, cùm jam à merò malè affectus & balbutit ridiculè. Deinde accedit vomitus. Poſtremò ſublatum eum de convivio efferunt aliqui. quanquam alioqui ne ſobrius quidem ulli primariorum ceſſerit vel mendacio, vel confidentia, vel avaritia. Quin inter aſſentatores primas

te-

ἢ φιλαργυρίας. ἀλλὰ καὶ κολάκων ἐστὶ τὰ πρῶτα, καὶ ἐπιορκεῖ προεγχειρεῖται, καὶ ἡ γοητεία προηγεῖται, καὶ ἡ ἀναισχυντία παρομαρτεῖ. καὶ ὅλως πάνσοφον τὸ χρῆμα, καὶ πανταχόθεν ἀκριβὲς, καὶ ποικίλως ἐντελές. οἰμώξεται τοιγαροῦν οὐκ εἰς μακρὰν χρηστὸς ὤν. τί τοῦτο; παπαῖ, χρόνιος ἡμῖν Θρασυκλῆς. ΘΡΑ. οὐ κατὰ ταῦτα ὦ Τίμων τοῖς πολλοῖς τούτοις ἀφῖγμαι, ὥσπερ οἱ τὸν πλοῦτόν σοι τεθηπότες, ἀργυρίου, καὶ χρυσίου, καὶ δείπνων πολυτελῶν ἐλπίδι συνδεδραμήκασι, πολλὴν τὴν κολακείαν ἐπιδειξάμενοι πρὸς ἄνδρα οἷον σὺ ἁπλοϊκὸν, καὶ τῶν ὄντων κοινωνικόν. οἶσθα γὰρ ὡς μᾶζα μὲν ἐμοὶ δεῖπνον ἱκανὸν, ὄψον δὲ ἥδιστον θύμον, ἢ κάρδαμον, ἢ εἴποτε τρυφῴην ὀλίγον τῶν ἁλῶν. ποτὸν δὲ ἡ ἐννεάκρουνος. ὁ δὲ τρίβων οὗτος, ἧς βούλει πορφυρίδος ἀμείνων. τὸ χρυσίον μὲν γὰρ οὐδὲν τιμιώτερον τῶν ἐν τοῖς αἰγιαλοῖς ψηφίδων μοι δοκεῖ. σοῦ δὲ αὐτοῦ χάριν ἐστάλην, ὡς μὴ διαφθείρῃ σε τὸ κάκιστον τοῦτο καὶ ἐπιβουλότατον κτῆμα ὁ πλοῦτος, ὁ πολλοῖς πολλάκις αἴτιος ἀνηκέστων συμφορῶν γεγενημένος. εἰ γάρ μοι πείθοιο, μάλιστα ὅλον εἰς

tenet, pejerat promptissimè, anteit impostura, comitatur impudentia. In summa prorsus admirandum quoddam spectaculum est omni ex parte exactum, variéque absolutum, proinde non ejulabit clarius videlicet, cùm sit modestus. Quid hoc? papæ, tandem nobis Thrasycles?
THRA. Non hoc animo ad te venio, Timon, quo plerique isti, qui nimirum opes admirati tuas, argenti, auri, opiparorum conviviorum adducti spe concurrunt, multáque assentatione deliniunt te, hominem videlicet simplicem, faciléque impartientem id quod adest. Siquidem haud ignoras offam mihi in cœnam sufficientem esse, tum obsonium suavissimum, sæpe aut nasturcium, aut si quando delicier, pusillum salis. Porrò potum fons Athenis novem saliens venis, suppeditat. Tum pallium hoc quavis purpura potius. Nam aurum nihilo magis apud me in precio est, quàm calculi, qui sunt in littoribus. Sed tua ipsius gratia huc me contuli, ut ne te subverterit pessima ista atque insidiosissima res, opulentia, quippe quæ multis sæpenumero immedicabilium malorum extiterit causa. Etenim si me audies, potissimùm

τὴν θάλατταν ἐμβαλεῖς αὐτὴν, οὐδὲν ἀ-
ναγκαῖον ἀνδρὶ ἀγαθῷ ὄντα, καὶ τὸν φι-
λοσοφίας πλοῦτον ὁρᾶν δυναμένῳ. μὴ
μέντοι ἐς βάθος ὦ 'γαθὲ, ἀλλὰ ὅσον ἐς
βουβῶνας ἐπεμβὰς ὀλίγον πρὸ τῆς κυμα-
τωγῆς, ἐμοῦ ὁρῶντος μόνου. εἰ δὲ
μὴ τοῦτο βούλει, σὺ δὲ ἄλλον τρόπον ἀ-
μείνω κατὰ τάχος ἐκφόρησον αὐτὸν ἐκ
τῆς οἰκίας, καὶ μηδ' ὀβολὸν αὑτῷ ἀνεὶς
διαδιδοὺς ἅπασι τοῖς δεομένοις. ᾧ μὲν
πέντε δραχμὰς, ᾧ δὲ μνᾶν, ᾧ δὲ τά-
λαντον. εἰ δέ τις φιλόσοφος εἴη, διμοιρίαν
ἢ τριμοιρίαν φέρεσθαι δίκαιος. ἐμοὶ δὲ
καί τοι οὐκ ἐμαυτοῦ χάριν αἰτῶ, ἀλλ' ὅ-
πως μεταδῶ τῶν ἑταίρων τοῖς δεομένοις
ἱκανὸν εἰ ταύτην τὴν πήραν ἐμπλήσας
παράσχοις, οὐδὲ ὅλους δύο μεδίμνους χω-
ροῦσαν αἰγινητικούς. ὀλιγαρκῆ δὲ καὶ μέτρι-
ον χρὴ εἶναι τὸν φιλοσοφοῦντα, καὶ μηδὲν
ὑπὲρ τὴν πήραν φρονεῖν. Τιμ. ἐπαινῶ
ταῦτά σου ὦ Θρασύκλεις. πρὸ γοῦν τῆς πή-
ρας εἰ δοκεῖ, φέρε σοι τὴν κεφαλὴν
ἐμπλήσω κονδύλων, ἐπιμετρήσας τῇ δι-
κέλλῃ. Θρασ. ὦ δημοκρατία, καὶ νόμοι
παιόμεθα ὑπὸ τοῦ καταράτου ἐν ἐλευθέ-
ρᾳ τῇ πόλει. Τιμ. τί ἀγανακτεῖς ὦ 'γα-
θὲ Θρασύκλεις; μῶν παρακέκρουσμαί σε

opes universas in mare præcipitabis, utpote quibus nihil sit opus bono viro, quique philosophiæ possit opes perspicere. Ne tamen in altum ô bone, sed fermè ad pubem usque ingressus paulò ultra solum fluctibus opertum, me quidem uno spectante. Quod si hoc non vis, tute igitur eas potiore via ex ædibus ejicito, ac ne obolum quidem tibi facias reliquum, videlicet largiens iis, quicunque opus habent: huic quinque drachmas, illi minam, alii talentum. Si verò quis philosophus fuerit, duplam aut triplam portionem ferre dignus est. Quanquam hoc quidem mihi non mea ipsius gratia peto, sed quo amicis, si qui egebunt, donem: sat est si modò peram hanc largitione tua expleveris, ne duos quidem modios Ægineticos capientem. Nam paucis contentum, modestumque convenit esse eum qui philosophatur, neque quicquam ultra peram cogitare. TIM. Equidem ista, quæ dicis, probo Thrasycles. ergo si videtur, priusquam peram expleam, age tibi caput opplebo tuberibus, posteaquam ligone sum mensus. THRA. O libertas, ô leges, pulsamur ab impurissimo libera in civitate? TIMON. Quid stomacharis ô bone Thrasycles? num te defraudavi?

καὶ μὴν ἐπεμβαλῶ χοίνικας ὑπὲρ τὸ μέτρον τέτταρας, ἀλλὰ τί τοῦτο; πολλοὶ ξυνέρχονται. Βλεψίας ἐκεῖνος, καὶ Λάχης καὶ Γνίφων, ὅλως τὸ σύνταγμα τῶν οἰμωξομένων. ὥς τε τί οὐκ ἐπὶ τὴν πέτραν ταύτην ἀνελθὼν, τὴν μὲν δίκελλαν ὀλίγον ἀναπαύω, πάλαι πεπονηκυῖαν; αὐτὸς δὲ ὅτι πλείστους λίθους ξυμφορήσας, ἐπιχαλαζῶ πόρρωθεν αὐτούς; Βλεψ. μὴ βάλλε ὦ Τίμων, ἄπιμεν. Τιμ. ἀλλ' οὐκ ἀναιμωτί γε ὑμεῖς, οὐδὲ ἄνευ τραυμάτων.

ΔΙΚΗ

Atqui adjiciam ultra mensuram Chænices quatuor. sed quid hoc negotii ? Complures simul adveniunt, Blepsias ille, & Laches, & Gniphon breviter agmen eorum qui vapulabunt. Itaque quin ego in rupem hanc conscendo, ac ligonem quidem paulisper interquiescere sino, dudum fatigatum ? Ipse verò plurimis congestis saxis, procul eos lapidum grandine peto. BLEP. Ne jace, ô Timon, abimus enim. TIMON. At vos quidem nec citra sanguinem, nec absque vulneribus.



ΔΙΚΗ ΦΩΝΗΕΝΤΩΝ.

Ἐπὶ ἄρχοντος Ἀριστάρχου Φαληρέως, Πυανεψιῶνος ἑβδόμῃ ἱσταμένου, γραφὴν ἔθετο τὸ Σίγμα πρὸς τὸ Ταῦ ἐπὶ τῶν ἑπτὰ φωνηέντων, βίας ὑπαρχόντων, καὶ ἁρπαγῆς, ἀφῃρεῖσθαι λέγων πάντων τῶν ἐν διπλῷ Ταῦ ἐκφερομένων.

Μέχρι μὲν, ὦ φωνήεντα δικασταί, ὀλίγα ἠδικούμην ὑπὸ τουτοὶ τοῦ Ταῦ, καταχρωμένου τοῖς ἐμοῖς, καὶ καταίροντος ἔνθα μὴ δεῖ, οὐ βαρέως ἔφερον τὴν βλάβην. καὶ παρήκουον ἔνια τῶν λεγομένων ὑπὸ τῆς μετριότητος ἣν ἴστε με φυλάσσοντα πρός τε ὑμᾶς καὶ τὰς ἄλλας συλλαβάς. ἐπεὶ δὲ ἐς τοσοῦτον ἥκει πλεονεξίας, καὶ ἀνοίας, ὥστε ἐφ᾽ οἷς ἡσύχασα πολλάκις οὐκ ἀγαπῶν, ἤδη



JVDICIVM VOCALIVM.

IMperante Ariſtarcho Phalereo, ſeptima Octobris, actionem inſtituit Sigma adverſus Tau, conſtitutis judicibus ſeptem Vocalibus, de vi & rapina, ſpoliari ſe dicens omnibus illis vocibus, quæ duplici Tau proferri ſolent.

HActenus quidem, ô Judices Vocales, non admodum gravi injuria adfectus ab hoc *Ταῦ*, quod meis rebus abutebatur, & inde auferebat, unde minimè conveniebat, quod quidem damnum non graviter tuli, nonnulla etiam quæ dicebantur, audiviſſe me diſſimulabam propter modeſtiã, quã vos ipſi noſtis me ſervare, cùm erga vos, tum erga alias ſyllabas. Poſtquam verò ad tantam avaritiam & amentiam pervenit, ut non modò non ſit contentum iis, quæ ego ſæpe

 diſ-

καὶ πλείω προσβιάζεται, ἀναγκαῖον αὐτὸ εὐθῦναι νῦν παρὰ τοῖς ἀμφότερα εἰδόσιν ὑμῖν. δέος δὲ οὐ μικρόν με ἐπὶ τοῖς ἀποθλίψεως ἐπέρχεται τῆς ἐμαυτοῦ. τοῖς γὰρ προπεπραγμένοις ἀεί τι μεῖζον προστιθέν, ἄρδην με τῆς οἰκείας ἀποθλίψει χώρας, ὡς ὀλίγου δεῖν ἡσυχίαν ἀγαγόντα, μηδὲ ἐν γράμμασιν ἀριθμεῖσθαι, ἐν ἴσῳ δὲ κεῖσθαι τοῦ ψόφου. δίκαιον οὖν οὐχ ὑμᾶς, οἳ δικάζετε νῦν, ἀλλὰ καὶ τὰ λοιπὰ γράμματα τῆς πείρας ἔχειν τινὰ φυλακήν. εἰ γὰρ ἐξέσται τοῖς βουλομένοις ἀπὸ τῆς καθ' αὑτὰ τάξεως εἰς ἀλλοτρίαν βιάζεσθαι, καὶ τοῦτο ἐπιτρέψετε ὑμεῖς, ὧν χωρὶς οὐδὲν καθόλου τι γράφεται, οὐχ ὁρῶ τίνα τρόπον αἱ συντάξεις τὰ νόμιμα, ἐφ' οἷς ἐτάχθη τὰ κατ' ἀρχὰς ἕξουσιν. ἀλλ' οὔτε ὑμᾶς οἶμαί ποτε εἰς τοσοῦτον ἀμελείας τε καὶ παροράσεως ἥξειν, ὥστε ἐπιτρέψαι τινὰ μὴ δίκαια· οὔτε εἰ καθυφήσετε τὸν ἀγῶνα ὑμεῖς, ἐμοὶ παραλειπτέον ἐστὶν ἀδικουμένῳ. ὡς εἴθε καὶ τῶν ἄλλων ἀνεκόπησαν τότε αἱ τόλμαι, εὐθὺς ἀρχομένων παρανομεῖν. καὶ οὐκ ἂν ἐπολέμει μέχρι νῦν

τὸ

dissimulavi, verùm jam majorem vim inferat, ipsa me necessitas cogit, ut accusem apud vos qui utramque nostrûm novistis. Non autem exiguus metus propter istam miseriam me invasit. Nam cum prioribus injuriis majores semper addat, prorsus me è domestica sede expellet, ita ut parum jam absit, dum ego ista dissimulo, quin ne inter literas quidem amplius numerer, & in simili quodam verser metu. Est itaque æquum non modò vos judices; sed omnes etiam reliquas literas hujus doli curam gerere. Nam si, ut libet unicuique, licebit è suo ordine in alium violenter irrumpere, idque vos, sine quibus nihil omninò scribitur, permiseritis, non video quomodo sua quique ordines jura, juxta quæ à principio constituti sunt, tuebuntur. Sed non existimo vos unquam ad tantam incuriam vel negligentiam perventuros, ut ea feratis, quæ cum æquo & jure pugnant. Et ut vos certamen omiseritis, tamen mihi qui injuria affectus sum, negligendum non erit. Atque utinam aliarum quoque literarum audacia ab initio statim, cùm cœperunt contra leges delinquere esset repressa, neque enim litigaret

τὸ Λάμβδα, τοῦ Ῥῶ, διαμφισβητοῦν περὶ τῆς κισσήρεως, καὶ κεφαλαλγίας. ὅτε τὸ Γάμμα τοῦ Κάππα διηγωνίζετο, καὶ ἐς χεῖρας μικροῦ δεῖν ἤρχετο πολλάκις ἐν τῷ κναφείῳ ὑπὲρ γναφάλων. ἐπέπαυτο δ᾽ ἂν καὶ πρὸς τὸ Λάμβδα μαχόμενον τὸ Μόγις ἀφαιρούμενον αὐτοῦ, καὶ μάλιστα παρακλέπτον. καὶ τὰ λοιπὰ ἂν δ᾽ ἠρέμει συγχύσεως ἄρχεσθαι παρανόμου· καλὸν γὰρ ἕκαστον μένειν ἐφ᾽ ἧς τετύχηκε τάξεως. τὸ δὲ ὑπερβαίνειν ἐς ἃ μὴ χρή, λύοντός ἐστι τὸ δίκαιον. καὶ ὅγε πρῶτος ἡμῖν τοὺς νόμους τούτους διατυπώσας, εἴτε Κάδμος ὁ νησιώτης εἴτε Παλαμήδης ὁ Ναυπλίου, καὶ Σιμωνίδην δὲ ἔνιοι προσάπτουσι τὴν προμήθειαν ταύτην, οὐ τῇ τάξει μόνον, καθ᾽ ἣν αἱ προεδρίαι βεβαιοῦνται διώρισαν, τί πρῶτον ἔσται ἢ δεύτερον, ἀλλὰ καὶ ποιότητας ἃς ἕκαστον ἡμῶν ἔχει, καὶ δυνάμεις συνεῖδον, καὶ ἡμῖν μέν, ὦ δικασταί, τὴν μείζω δεδώκασι τιμήν, ὅτι καθ᾽ αὑτὰ δύναται φθέγγεσθαι. ἡμιφώνοις δὲ, τὴν ἐφεξῆς, ὅτι προσθήκης εἰς τὸ ἀκουσθῆναι δεῖται. πασῶν δὲ ἐσχάτην ἐνόμισαν ἔχειν μοῖραν ἔνια τῶν πάντων, οἷς οὐδὲ φωνὴ πρόσεστι. καθ᾽

αὑτὰ

ad hunc usque diem Λάμβδα cum Ρῶ disceptans de voce κίσηρεις & κεφαλαλγία. Neque etiam Γάμμα cum Κάππα certamen haberet, neque tam sæpè ad manus propè venissent in fullonia de dictionibus κναφείω & γνάφω disceptantes. Quin cessasset etiam hoc Γάμμα & Λάμβδα contendere, dictionem Μόγις illi surripiens, imò suffurans. Adeoque reliquæ literæ quievissent seditiones movere contra leges. Est enim pulchrum unamquamque literam in eo ordine, quem primum sortita est, manere: transcendere verò eò quò non oportet, ejus est, qui jus & æquum solvit. Et qui primus vobis has leges finxit & formavit, sive Cadmus fuerit ille insularis, sive Palamedes Nauplii filius, quanquam nonnulli hanc prudentiam Simonidi tribuant, non ordinem tantùm per quem sua quibusque literis præsidentiæ dignitas firmiter permanet, definierunt, videlicet quæ debeat esse prima, quæ secunda, sed qualitates etiã & virtutes, quas habent cõstituerunt. Et vos quidem ô judices, honore affecerũt pręcipuo, propterea quod vestro Marte potestis sonũ efficere. Semivocales verò secũdo loco dignati sũt. eo quod sine vestro accessu exaudiri nequeũt. Ex omnibus etiã literis quibusdam

omnium

αὐτὰ μὲν ἐν τὰ φωνήεντα, φυλάσσειν ἔοικε τοὺς νόμους τούτους. τὸ δὲ Ταῦ τοῦτο, (οὐ γὰρ ἔχω αὐτὸ χείρονι ὀνομάσαι ῥήματι, ἢ ᾧ καλεῖται) ὃ, μὰ τοὺς θεοὺς, εἰ μὴ ἐξ ὑμῶν δύο συνῆλθον ἀγαθοὶ καὶ καθήκοντες ὁραθῆναι, τό, τε Ἄλφα, καὶ τὸ Ὑψιλὸν, οὐκ ἂν ἠκούσθη μόνον. τοῦτο οὖν ἐπιτόλμησεν ἀδικεῖν με πλείω τῶν πώποτε βιασαμένων, ὀνομάτων με, καὶ ῥημάτων ἀπελάσαι πατρῴων, ἐκδιῶξαι δὲ ὁμοῦ Συνδέσμων ἅμα καὶ Προθέσεων, ὡς μηκέτι φέρειν τὴν ἔκτοπον πλεονεξίαν. ὅθεν δὲ καὶ ἀπό τινων ἀρξάμενον ὥρα λέγειν. Ἐπεδήμησα ποτὲ Κυβήλῳ, (τὸ δὲ ἔστι πολίχνιον οὐκ ἀηδὲς ἄποικον, ὡς ἐπέχει λόγος, Ἀθηναίων) Ἐπηγόμην δὲ καὶ κράτιστον Ῥῶ, γειτόνων τὸ βέλτιστον. κατηγόμην δὲ παρά κωμῳδιῶν τινι ποιητῇ, Λυσίμαχος ἐκαλεῖτο, Βοιώτιος μὲν, ὡς ἐφαίνετο, τὸ γένος ἀνέκαθεν, ἀπὸ μέσης δὲ ἀξιοῦντι λέγεσθαι τῆς Ἀττικῆς. παρὰ τούτῳ δὴ τῷ ξένῳ τὴν τοῦ Ταῦ τούτου πλεονεξίαν ἐφώρασα. μέχρι μὲν γὰρ ὀλίγοις ἐπιχειρεῖ τετταράκοντα λέγειν ἀποστεροῦν με τῶν συγγεγενημένων μοι, συνήθειαν ᾤμην.

omnium postremũ locũ decreverũt, Mutis scilicet & voce carentibus. Has itaq; leges per vos Vocales conservari decet. Hoc verò ταῦ (neque enim possum ipsum turpiori nomine appellare quàm quo nominari solet) per Deos nisi duæ quædam bonæ ex vobis, & aspectu decenti, Αλφα scilicet & Υψιλὸν, se illi conjunxissent, ne audiretur quidẽ solùm. Hoc, inquam, mihi majorem vim quam nullæ unquam literæ inferre ausum est. Nam nominibus & verbis patriis me extrudere, præterea ex ipsis etiam Conjunctionibus & præpositionibus expellere tentat, adeò ut istam immodicã avaritiã porrò ferre nequeam. Verum jam tempus est dicere, unde & à quibus res initiũ sumpserit. Peregrinabar aliquãdo in Cybelo (id oppidulũ non est injucundũ, colonia, sicut fertur, Atheniẽsium) adducebam verò mecum fortissimũ Pῶ ex vicinis meis optimum. Divertebam verò ad Comicum quendam poëtam, huic nomen erat Lysimacho, & à majoribus, quantum apparebat, genere erat Bœotius, sed tamẽ de se dici volebat quod in media Attica natus esset. Apud hunc hospitẽ ego hujus ταῦ avaritiam deprehendi. Equidẽ cum hactenus paucis quibusdã manus intulisset dicendo τετταράκοντα privans me meis cognatis, existimabã eã esse cõsuetudinem

ᾠόμην συντεθραμμένων γραμμάτων. ἐπεὶ δὲ Τήμερον καὶ τὰ ὅμοια ἐπισπώμενον, ἴδια ταυτὶ λέγων, καὶ οἰστὸν ἦν μοι τὸ ἄκουσμα, καὶ οὐ πάνυ τι ἐδακνόμην ἐπ' αὐτοῖς. ὁπότε δὲ καὶ ἐκ τούτων ἀρξάμενον ἐτόλμησε Καττίτερον εἰπεῖν, καὶ Κάττυμα, καὶ Πίτταν, εἶτα ἀπερυθριάσαν, καὶ Βασίλιτταν ὀνομάζειν, οὐ μετρίως δὲ τούτοις ἀγανακτῶ, καὶ πίμπραμαι, δεδιὼς μὴ τῷ χρόνῳ καὶ τὰ Σῦκα, Τῦκά τις ὀνομάσῃ. καί μοι πρὸς Διὸς ἀθυμοῦντι, καὶ μεμονωμένῳ τῶν βοηθησόντων, σύγγνωτε τῆς δικαίας ὀργῆς, οὐ γὰρ περὶ τὰ μικρὰ καὶ τὰ τυχόντα ἐστὶν ὁ κίνδυνος, ἀφαιρουμένῳ τῶν συνήθων καὶ συνεσχολακότων μοι γραμμάτων, Κίσσαν μου λάλον ὄρνεον, ἐκ μέσων, ὡς ἔπος εἰπεῖν, τῶν κόλπων ἁρπάσαν, Κίτταν ὠνόμασεν. ἀφείλετο δέ μου Φάσσας ἅμα Νύσσαις τε καὶ Κοσσύφοις, ἀπαγορεύοντος Ἀριστάρχου. περιέσπασε δὲ καὶ μελισσῶν οὐκ ὀλίγας. ἐπ' Ἀττικὴν δὲ ἐκ μέσης αὐτῆς ἀνήρπασεν ἀνόμως Υ μηττὸν, ὁρώντων ὑμῶν καὶ τῶν ἄλλων συλλαβῶν. ἀλλὰ τί λέγω ταῦτα; Θεσσαλίας με ἐξέβαλεν ὅλης, Θετταλίαν ἀξιοῦν λέγειν, καὶ πᾶσαν ἀποκεκλεισμένον τὴν θάλασσαν, οὐδὲ τῶν ἐν κήποις φεισάμε-

dinē literarū, quæ unà mecū essent educatæ. Præterea cū τήμερον, & similes quasdā voces mihi detraxisset, diceretq; eas esse suas, audiebā patienter, nec vehementer admodū me ea res mordebat. Verū cùm ab eis initium sumpsisset, atque postea ausum esset etiam dicere καττίτερον, & κάττυμα, & πίτταν, deinceps abjecto omni pudore βασίλιτταν quoq; nominare, haud leviter sum commotus, & ira accensus, timens nē quis temporis successu etiam σῦκα, τῦκα, appellet. Oro autem vos per Jovem, ut mihi indignanti, & justâ irâ commoto, præterea omni ope & auxilio destituto, ignoscatis. Neque enim parvum hoc aut leve est periculum, in quo versor, cùm præterquam quod assuetis & familiaribus literis me spoliavit, etiam κίσσαν, id est, picam, avem meam loquacissimā ex medio sinu, ut dici solet, abreptam, κίτταν appellavit. Quin & φάσσαν, id est, palumbum unà cum νήσσαις, id est, anatibus, & κοσσύφοις, id est, merulis abstulerat, intercedente Aristarcho. Eripuit etiam non paucas apes. In Atticam verò veniens, ex media illa regione ὑμηττὸν præter jus rapuit, idque vobis ipsis & aliis quibusdam syllabis videntibus. Verùm quid ego ista commemoro, cùm me tota Thessalia expulerit,

νον σεύτλων. ὡς τὸ δὴ λεγόμενον, μὴ δὲ πάσσαλόν μοι καταλιπεῖν. ὅτι δὲ ἀνεξίκακόν εἰμι γράμμα, μαρτυρεῖτέ μοι καὶ αὐτοὶ μηδέποτε ἐγκαλέσαντι τῷ Ζῆτα, σμάραγδον ἀποσπάσαντι καὶ πᾶσαν ἀφελομένῳ τὴν Σμύρναν. μήτε τῷ Ξῖ πᾶσαν παραβάντι συνθήκην, καὶ τὸν συγγραφέα τῶν τοιούτων ἔχοντι Θουκυδίδην σύμμαχον. τῷ μὲν γὰρ γείτονί μου Ρῶ νοσήσαντι, συγγνώμην καὶ παρ' αὐτῷ φυτεύσαντι μου τὰς μυῤῥίνας, καὶ παίσαντί με ποτε ὑπὸ μελαγχολίας ἐπὶ κόῤῥης. κἀγὼ μὲν τοιοῦτον. τὸ δὲ Ταῦ τοῦτο σκοπῶμεν ὡς φύσει βίαιον καὶ πρὸς τὰ λοιπά. ὅτι οὐδὲ τῶν ἄλλων ἀπέσχετο γραμμάτων, ἀλλὰ καὶ τὸ Δέλτα, καὶ τὸ Θῆτα, καὶ τὸ Ζῆτα, μικροῦ δεῖν πάντα ἠδίκησε τὰ στοιχεῖα. αὐτά μοι κάλει τὰ ἀδικηθέντα γράμματα. Ἀκούετε φωνήεντα δικασταί, τοῦ μὲν Δέλτα λέγοντος. ἀφείλετό μου τὴν ἐνδελέχειαν, ἐντελέχειαν ἀξιοῦν λέγεσθαι παρὰ πάντας τοὺς νόμους; τοῦ Θῆτα κρούοντος, καὶ τῆς κεφαλῆς τὰς τρίχας τίλλοντος, ἐπὶ τῷ τῆς κολοκύνθης ἐστερῆσθαι; τοῦ Ζῆτα τὸ συρίζειν, καὶ σαλπίζειν, ὡς μηκέτ' αὐτῷ ἐξεῖναι μηδὲ γρύζειν;

τίς

rit, velitque eam Thettaliam dicere? toto insuper mari sum exclusum. Neque à betis hortensibus sibi temperat, ut jam, quod dici solet, ne paxillus quidem mihi reliquus sit. Quod verò litera sim, quæ nulli nocere studeam, vos ipsimet mihi testes estis, neq; enim unquam accusavi literam. Ζῆτα, quæ mihi σμάραγδον abstulit, & totam σμῦρναν surripuit: nec ipsi etiam Ξῦ, omnia fœdera & pacta rumpenti, litem intendi, ipso etiam Thucydide opem illi ferente. Etenim vicino meo Ρῦ venia danda quod morbo adfectum sit, & meas apud te μυῤῥίνας, id est, myrtos plantarit, & quod melancholiæ malo laborans me in faciem percusserit, & talis quidem litera sum ego. Hoc verò ταῦ quàm sit natura violentum adversus reliquas omnes literas, & quam à nullis omnino abstinuerit, consideremus. Sed & Δέλτα, & Ζῆτα, & Θῆτα, & propè omnia literarum elementa injuria affecit. Accerse mihi literas. Auditis vocales judices, ipsũ Δέλτα dicere, surripuit mihi meã ἐνδελέχειαν, pro qua vult dici ἐντελέχειαν, quod sanè contrariũ est omnibus legibus? Auditis vociferari Θῆτα & capiti capillos evellere, eò quod privatum est cucurbita? Auditis etiam ipsum Ζῆτα vocibus συρίζειν & σαλπίζειν spoliatum

τίς ἂν τούτων ἀνάσχοιτο, ἢ τίς ἐξαρκέσεις δίκη πρὸς τὸ πονηρότατον τουτὶ Ταῦ; τὸ δέ, ἄρα οὐ τὸ ὁμόφυλον τῶν στοιχείων μόνον ἀδικεῖ γένος, ἀλλ' ἤδη καὶ πρὸς τὸ ἀνθρώπειον μεταβέβηκε, τουτονὶ τὸν τρόπον. οὐ γὰρ ἐπιτρέπειγε αὐτοὺς κατ' εὐθὺ φέρεσθαι ταῖς γλώσσαις. μᾶλλον δέ, ὦ δικασταί, μεταξὺ γάρ με πάλιν τὰ τῶν ἀνθρώπων πράγματα ἀνέμνησε περὶ τῆς γλώσσης, ὅτι καὶ ταύτης με τὸ μέρος ἀπήλασε, καὶ γλῶτταν ποιεῖ τὴν γλῶσσαν. ὦ γλώσσης ἀληθῶς νόσημα! Ταῦ. ἀλλὰ μεταβήσομαι πάλιν ἐπ' ἐκεῖνο, καὶ τοῖς ἀνθρώποις συναγορεύσω, ὑπὲρ ὧν εἰς αὐτοὺς πλημμελεῖ. δεσμοῖς γάρ τισι στρεβλοῦν καὶ σπαράττειν αὐτῶν τὴν φωνὴν ἐπιχειρεῖ. καὶ ὁ μέν τι καλὸν ἰδών, καλὸν εἰπεῖν βούλεται. τὸ δὲ παρεισπεσόν, ταλὸν εἰπεῖν ἀναγκάζει, ἐν ἅπασι προεδρίαν ἔχειν ἀξιοῦν. πάλιν ἕτερος περὶ κλήματος διαλέγεται, τὸ δὲ (τλῆμον γάρ ἐστιν ἀληθῶς) τλῆμα πεποίηκε τὸ κλῆμα. καὶ οὐ μόνον γε τοὺς τυχόντας ἀδικεῖ, ἀλλ' ἤδη καὶ τῷ μεγάλῳ βασιλεῖ, ᾧ καὶ γῆν, καὶ θάλατταν εἶξαί φασι, καὶ τῆς αὐτῶν φύσεως ἐκστῆναι, τὸ δέ, καὶ τούτῳ ἐπιβουλεύει, καὶ Κῦρον

αὐτὸν

spoliatum esse adeò, ut ne γρύζειν quidē, id est, mutire illi porrò liceat? quis ista, quæso, ferat? aut quæ pœna satis magna erit tam scelesto? Verum hoc non tantùm cognatum sibi elementorum genus lædit, sed jam ad homines etiam iisdem moribus se contulit. Neque enim permittit, ut rectà ferantur linguis. Imò verò, Judices, interim enim res humanæ rursus me admoverunt γλώσσαις, id est, linguæ, nam expulsum me hac quoque parte γλῶσσαν facit γλῶτταν. O revera linguæ perniciosus morbus ταῦ. Verum rursum me conferam ad illud quod cœperam, atque homines defendam in iis, in quibus adversus eos delinquit. Nam conatur illorum voces quibusdam vinculis constringere & discerpere, ita ut si quis pulchrum quidpiam videns, idque καλὸν appellare velit, hoc ταῦ statim irruens ταλὸν ipsum dicere cogit, adeò cupit in omnibus præsidentiam obtinere. Rursum alius dicit περὶ κλήματος, id est, de palmite, hoc verò, (est enim re vera τλῆμον, id est, miserum) τλῆμα facit, quod erat κλῆμα. Et quidem non plebeios tantùm homines injuria afficit, sed jam etiam magno illi regi, cui fama est ipsam terram & mare cessisse, atque naturas suas reliquisse, insidias tendit, & ex ipso

αὐτὸν ὄντα, τύραννόν τινα ἀπέφηνεν. ἔτι μὲν οὖν ὅσον ἐς φωνὴν ἀνθρώπους ἀδικεῖ, ἔργῳ δὲ πῶς; κλαίουσιν ἄνθρωποι, καὶ τὴν αὐτῶν τύχην ὀδύρονται, καὶ Κάδμῳ καταρῶνται πολλάκις, ὅτι τὸ Ταῦ ἐς τὸ τῶν στοιχείων γένος παρήγαγε. τῷ γὰρ τούτου σώματί φασι τοὺς τυράννους ἀκολουθήσαντας μιμησαμένους αὐτοῦ τὸ πλάσμα, ἔπειτα σχήματι τοιούτῳ ξύλα τεκτήναντας, ἀνθρώπους ἀνασκολοπίζειν ἐπ' αὐτά. ἀπὸ δὴ τούτου καὶ τῷ τεχνήματι τῷ πονηρῷ τὴν πονηρὰν ἐπωνυμίαν συνελθεῖν. τούτων οὖν ἁπάντων ἕνεκα πόσων θανάτων τὸ Ταῦ ἄξιον εἶναι νομίζετε; ἐγὼ μὲν γὰρ οἶμαι δικαίως τοῦτο μόνον τὴν τοῦ Ταῦ τιμωρίαν ὑπολείπεσθαι, τὸ τῷ σχήματι τῷ αὐτοῦ τὴν δίκην ὑποσχεῖν, ὃ δὴ σταυρὸς εἶναι, ὑπὸ τούτου μὲν ἐδημιουργήθη, ὑπὸ δὲ ἀνθρώπων ὀνομάζεται.

ΤΕΛΟΣ.

ipſo cùm Κῦρος ſit, τῦρον quendam efficit. Atque in hunc modum vocem hominum lædit. Quomodò verò reipſa & opere eoſdē lædat, audite: plorant homines, atq; ſuę fortunę vices deflent, atque ipſum ſæpe Cadmum execrantur, quod ταῦ in literarum genus induxerit: Aiunt enim tyrannos ejus literæ corpus ſecutos, atque figuram imitatos, poſtea ſimili figura ligna fabricaſſe, in quibus homines ſuſpendant. Atque ex hoc huic tam pernicioſæ fabricæ peſſimum nomen obveniſſe. Propter iſta omnia quot mortibus ipſum ταῦ dignum eſſe judicatis? Ego quidem exiſtimo meritò hoc ſolùm ad ſupplicium illius ταῦ relinqui, ut pœnam in ſua illa figura ſuſtineat, propterea quod crux ab ipſo fabricata eſt, & ab eo nomen illi homines impoſuerunt.

FINIS.

αὐτὸν ὄντα, τύραννόν τινα ἀπέφηνεν. οὔπω μὲν οὖν ὅσον ἐς φωνὴν ἀνθρώπους ἀδικεῖ, ἔργῳ δὲ πῶς; κλάουσιν ἄνθρωποι, καὶ τὴν αὑτῶν τύχην ὀδύρονται, καὶ Κάδμῳ καταρῶνται πολλάκις, ὅτι τὸ Ταῦ ἐς τὸ τῶν στοιχείων γένος παρήγαγε. τῷ γὰρ τούτου σώματί φασι τοὺς τυράννους ἀκολουθήσαντας μιμησαμένους αὐτοῦ τὸ πλάσμα, ἔπειτα σχήματι τοιούτῳ ξύλα τεκτήναντας, ἀνθρώπους ἀνασκολοπίζειν ἐπ' αὐτά. ἀπὸ δὲ τούτου καὶ τῷ τεχνήματι τῷ πονηρῷ τὴν πονηρὰν ἐπωνυμίαν συνελθεῖν. τούτων οὖν ἀπίστων ἕνεκα πόσων θανάτων τὸ Ταῦ ἄξιον εἶναι νομίζετε; ἐγὼ μὲν γὰρ οἶμαι δικαίως τοῦτο μόνον τὴν τοῦ Ταῦ τιμωρίαν ἀπολείπεσθαι, τὸ τῷ σχήματι τῷ αὐτοῦ τὴν δίκην ὑποσχεῖν, ὃ δὴ σταυρὸς εἶναι, ὑπὸ τούτου μὲν ἐδημιουργήθη, ὑπὸ δὲ ἀνθρώπων ὀνομάζεται.

ΤΕΛΟΣ.

ipſo cùm Κῦρος ſit, τῦρον quendam efficit. Atque in hunc modum vocem hominum lædit. Quomodò verò reipſa & opere eoſdē lædat, audite: plorant homines, atq; ſuę fortunę vices deflent, atque ipſum ſæpe Cadmum execrantur, quod ταῦ in literarum genus induxerit: Aiunt enim tyrannos ejus literæ corpus ſecutos, atque figuram imitatos, poſtea ſimili figura ligna fabricaſſe, in quibus homines ſuſpendant. Atque ex hoc huic tam pernicioſæ fabricæ peſſimum nomen obveniſſe. Propter iſta omnia quot mortibus ipſum ταῦ dignum eſſe judicatis? Ego quidem exiſtimo meritò hoc ſolùm ad ſupplicium illius ταῦ relinqui, ut pœnam in ſua illa figura ſuſtineat, propterea quod crux ab ipſo fabricata eſt, & ab eo nomen illi homines impoſuerunt.

FINIS.

De summa trinitate ꝛ fide catholica

IGnorantia sacerdotū. ꝛ infra. Ne q̄s ꝑ ignorantiā se excuset q̄n sciat articulos fidei oēs quos ministri ecclesie scire tenent eos sūmaria vt sequit̄ ꝑstrixim⁹ breuitate ¶ Sciendū enī ē septē eē fidei articulos ꝑtinētes ad ministeriū trinitatis: quoꝝ quattuor ꝑtinēt ad dīuitatis intrinseca: tres vero ad effect⁹ ¶ Primus ē vnitas dīne essētie ī triū ꝑsonaꝝ indiuisibili trinitate. Iuxta illud. Credo ī vnū deū ¶ Secundus est credere patrē ingenituꝫ esse deū. ¶ Tercius ē credere filium vnigenitum esse deum. ¶ Quartus est credere spirituū sanctum nec genitū nec ingenitum: esse deum sed a patre ꝛ filio simul ꝓcedentē. ¶ Quint⁹ est creatio celi ꝛ terre: hoc est oīs visibilis ꝛ inuisibilis creature a tota inuisibili trinitate. ¶ Sextus est sanctificatio ecclesie ꝑ spirituꝫ sanctū ꝛ gratie sacramenta ꝛ cetera oīa ī q̄bus

a

